περιφέρω, circumfero (etiam ut Lat. *circumferri*, in eo ponitur quod *celebratur, vulgatur* al.); *circumago, huc atque illuc fero* vel *duco* et simpl. *fero* vel *duco.* Legg. X. 898. E: *καθάπερ ἡμᾶς ἡ παρ' ἡμῖν ψυχὴ πάντῃ περιφέρει.* Pol. X. 600. D: *ὥστε μόνον οὐκ ἐπὶ ταῖς κεφαλαῖς περιφέρουσιν αὐτοὺς οἱ ἑταῖροι.* X. 695. D: *εἰ θέλεις λαβὼν κάτοπτρον περιφέρειν πανταχῇ.* Epin. 983. A: *τοσοῦτον περιφέρειν ὄγκον.* 988. D. Phaedr. 250. C: *ὃ νῦν σῶμα περιφέροντες ὀνομάζομεν.* Soph. 252. C. Parm. 138. C: *ἤτοι ἐν τῷ αὐτῷ ἂν περιφέροιτο κύκλῳ.* Pol. IV. 436. D: *ὅταν ἐν τῷ αὐτῷ πήξαντες τὸ κέντρον περιφέρωνται.* Crat. 411. B: *κἄπειτα αὐτοῖς φαίνεται περιφέρεσθαι τὰ πράγματα.* Pol. X. 617. A. Legg. IX. 854. B: *οἶστρος ... περιφερόμενος ἀλιτηριώδης.* Parm. 138. C: *κύκλῳ ... περιφερόμενον.* Pol. IV. 436. E. Tim. 70. B: *πηγὴν τοῦ περιφερομένου κατὰ πάντα*

τὰ μέλη σφοδρῶς αἵματος. Pol. X. 617. A: ἐν ... τῷ ὅλῳ περιφερομένῳ. Apol. 19. C: Σωκράτη τινὰ ἐκεῖ περιφερόμενον (*modo huc modo illuc* in corbe pensili *portatum*). Tim. 49. E: τὸ ... ἀεὶ περιφερόμενον. Conv. 190. A: εἰς ὀρθὸν τὰ σκέλη περιφερόμενοι. Pol. III. 402. A: ἐν ἅπασιν οἷς ἐστὶ περιφερόμενα (*in quibus obiiciuntur*, int. τὰ στοιχεῖα). C: ὅσα τούτων ἀδελφὰ ... πανταχοῦ περιφερόμενα γνωρίζωμεν. Prot. 343. B: τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα cet. Demod. 383. C: καίτοι οὐκ ἂν οὕτω τοῦτο περιεφέρετο (*celebraretur*), εἰ μὴ καλῶς ἐλέγετο καὶ ὡς προσήκει. **reduco, revoco, revolvo*, pass. et med. *revolvor*, *redeo*. Lach. 180. E: περιφέρει δέ τίς με καὶ μνήμη (*memoria me reducit* int. *ad aliquid*, h. e. *mihi aliquid revocat*) ἄρτι τῶνδε λεγόντων. Phaedr. 247. D: ἕως ἂν κύκλῳ ἡ περιφορὰ εἰς ταὐτὸν περιενέγκῃ. Legg. II. 659. C: δοκεῖ μοι ... ὁ λόγος εἰς ταὐτὸν περιφερόμενος ἥκειν. Gorg. 517. C: οὐδὲν παυόμεθα εἰς τὸ αὐτὸ ἀεὶ περιφερόμενοι. Pol. V. 456. B: ἥκομεν ... εἰς τὰ πρότερα περιφερόμενοι.

περιφεύγω, *effugio*. Legg. III. 677. B: οἱ τότε περιφυγόντες τὴν φθοράν.

περίφοβος, ὁ, ἡ, *pertimescens*. Phaedr. 239. B: περίφοβον ὄντα τοῦ καταφρονηθῆναι.

περιφορά, ἡ, *conversio; circuitus*. Phaedr. 247. C: στάσας ... αὐτὰς περιάγει ἡ περιφορά. Legg. X. 893. C: καθάπερ ἡ τῶν ἑστάναι λεγομένων κύκλων στρέφεται περιφορά. Polit. 274. A: τὸν ἐκ τῆς νῦν περιφορᾶς καὶ γεννέσεως βασιλέα καὶ πολιτικόν. Phil. 28. E: πάσης τῆς περιφορᾶς. Legg. V. 747. A: τῆς κύκλῳ περιφορᾶς. VII. 818. C: τῶν ἄλλων ἄστρων περιφορᾶς. Epin. 991. E. Polit. 271. A: οἳ τελευτώσῃ ... τῇ προτέρᾳ περιφορᾷ τὸν ἑξῆς χρόνον ἐγειτόνουν. Pol. VII. 528. A: ἐν περιφορᾷ ὂν ... στερεόν. Tim. 36. D: τῇ ταὐτοῦ καὶ ὁμοίου περιφορᾷ. Legg. X. 893. C. Locr. 98. E: τᾷ περιφορᾷ τῶ παντός. Phaedr. 248. A: συμπεριηνέχθη τὴν περιφοράν. Pol. X. 617. C: τοῦ ἀτράκτου τὴν ἔξω περιφοράν. Legg. X. 898. C: τὴν ... οὐρανοῦ περιφοράν. Tim. 90. D: αἱ τοῦ παντὸς διανοήσεις καὶ περιφοραί. Pol. VIII. 546. A: ὅταν περιτροπαὶ ἑκάστοις κύκλων περιφορὰς ξυνάπτωσι. Tim. 47. B: ἐπὶ τὰς περιφορὰς τὰς τῆς παρ' ἡμῖν διανοήσεως. Ax. 370. B: περιφορὰς ἄστρων. **orbis coeli* vel *mundi* (germ. *Weltkreis*). Theaet. 153. D: ἕως ... ἂν ἡ περιφορὰ ᾖ κινουμένη καὶ ὁ ἥλιος. Pol. X. 616. C: οὕτω πᾶσαν ξυνέχον τὴν περιφοράν.

περίφραγμα, τό, *septum*, *munimentum*. Locr. 100. B: ὀστέα ... μυελῶν περιφράγματα.

περιφράττω, *munio*. Pol. II. 365. B. (Pind.).

περιφρονῶ, *admodum sapiens sum*. Ax. 365. C: οὐ περιφρονοῦσαν ἡλικίαν ἔχει. **contemno*. Ax. 372. ἤδη περιφρονῶ τοῦ ζῆν.

περιφυτεύω, *planto*. Legg. XII. 947. E: πέριξ δένδρων ἄλσος περιφυτεύουσι.

περιφύω, trans. *circumiicio*; intrans. (perf.) *adhaereo*. Pol. X. 612. A: ἃ νῦν αὐτῇ ... περιπέφυκεν. Legg. X. 898. D: τὸ γένος ἡμῖν ἀναίσθητον πάσαις ταῖς τοῦ σώματος αἰσθήσεσι περιπεφυκέναι. Tim. 78. D: τὸ δ' ἄλλο κύτος τοῦ κύρτου περὶ τὸ σῶμα ὅσον κοῖλον ἡμῶν περιέφυσε.

περιχάρεια, ἡ, *laetitia gestiens*. Phil. 65. D: ἡδονῆς ... καὶ περιχαρείας. Legg. V. 732. C: ὅλην περιχάρειαν ... ἀποκρυπτόμενον.

περιχαρής, ὁ, ἡ, *laetitia exsultans*. Tim. 86. B: περιχαρὴς ... ἄνθρωπος ὤν. Legg. XI. 931. C: περιχαρεῖ σφόδρα γενομένῳ. Alc. II. 141. B: περιχαρῆ γενόμενον. Pol. V. 462. B: περιχαρεῖς.

περιχέω, *circumfundo*, pass. et med. *circumfundor*, *circumdo*. Pol. VI. 488. C: αὐτοὺς ... αὐτῷ ἀεὶ τῷ ναυκλήρῳ περικεχύσθαι δεομένους cet. Polit. 268. C: τοὺς περικεχυμένους αὐτῷ. Tim. 60. C: περιχυθεὶς τῷ τῆς γῆς ὄγκῳ.

περιψυγμός, ὁ, *frigus*. Ax. 366. D: ἢ περιψυγμὸν ἢ θάλπος ... ὀδυνᾶται.

περιωδυνία, ἡ, *dolor vehemens*. Pol. IX. 583. D: τῶν περιωδυνίᾳ τινὶ ἐχομένων. Legg. V. 732. C: περιχάρειαν ... καὶ περιωδυνίαν.

περιώδυνος, ὁ, ἡ, *peracerbus*. Legg. IX. 873. C: μήτε περιωδύνῳ ... προςπεσούσῃ τύχῃ ἀναγκασθείς.

περιωθῶ, *repello*. Tim. 79. C: εἴσω τὴν ἀναπνοὴν περιωθεῖ. E. 80. C: περιωθεῖν ... εἰς ἄλληλα. 79. E: τὸ ... περιωσθέν.

περιωπή, ἡ, *specula*. Polit. 272. E: εἰς τὴν αὑτοῦ περιωπὴν ἀπέστη.

πέρυσι, *superiore anno*. Prot. 327. D. Gorg. 473. E. Alc. I. 110. A. al.

περυσινός, ή, όν, *anni superioris*. Legg. IX. 855. C: τὸ τῶν περυσινῶν ἀρχόντων ... δικαστήριον. Ep. VIII. 356. D.

πέτομαι, *volo*, *advolo*; etiam *celeriter aufugio*. Legg. XII. 952. E: ἔτους ὥρᾳ πέτονται πρὸς τὰς ἄλλας πόλεις. Euth. 4. A: πολλοῦ γε δεῖ πέτεσθαι cet. Ib. πετόμενόν τινα διώκεις; Theaet. 158. B: (ὅταν) ὡς πετόμενοι ἐν τῷ ὕπνῳ διανοῶνται. Pol. V. 467. D: ἵν', ἄν τι δέῃ, πετόμενοι ἀποφεύγωσι. VIII. 567. D: αὐτόματοι ... πολλοὶ ἥξουσι πετόμενοι. Legg. XII. 952. E. Ion. 534. B. Theaet. 197. D: ἐνίας δὲ μόνας ... πετομένας. Pol. III. 386. D: πταμένη (Hom.).

πέτρα, ἡ, *petra*, *saxum*. Tim. 60. C: ξυνωσθεῖσα ... ὑπ' ἀέρος ἀλύτως ὕδατι γῆ ξυνίσταται πέτρα. Phaedr. 275. B: δρυὸς καὶ πέτρας ἀκούειν. Pol. III. 387. A: ἐκ πετρῆς (Hom.). VIII. 544. D: ἢ οἴει ἐκ δρυός ποθεν ἢ ἐκ πέτρας τὰς πολιτείας γίγνεσθαι —; Apol. 34. B. (Hom.). Critia 116. B: κατηρεφεῖς αὐτῇ τῇ πέτρᾳ. Phil. 38. C: τὸ παρὰ τὴν

πέτραν τοῦθ' ἑστάναι φανταζόμενον. Phaedr. 229. C: κατὰ τῶν πλησίον πετρῶν ... ὦσαι. Soph. 246. A: ταῖς χερσὶν ἀτεχνῶς πέτρας καὶ δρῦς περιλαμβάνοντες. Pol. X. 611. D: ὄστρεά τε καὶ φύκια καὶ πέτρας (προςπεφυκέναι). Legg. VIII. 838. B: μηδ' εἰς πέτρας τε καὶ λίθους σπείροντας cet. Euthyd. 288. E: οὐδ' εἰ τὰς πέτρας χρυσᾶς ἐπισταίμεθα ποιεῖν.

πέτρος, ὁ, *lapis, saxum.* Ax. 371. E: Σισύφου πέτρος ἀνήνυτος. Legg. VIII. 843. A: πέτρον ... κινεῖν τὸν μέγιστον cet.

πετρώδης, ὁ, ἡ, *saxosus.* Pol. X. 612. A: γεηρὴ καὶ πετρώδη πολλὰ καὶ ἄγρια.

πεττεία, ἡ, *calculorum* (ap. Lat. *duodecim scriptorum*) *lusus.* Legg. VII. 820. E. Pol. VI. 487. C: ὑπὸ πεττείας ... ταύτης τινὸς ἑτέρας. Legg. VII. 820. C: διατριβὴν τῆς πεττείας. Eryx. 395. B: ὥσπερ ἐν τῇ πεττείᾳ εἶναι τοὺς πεττούς. Polit. 299. E: πεττείαν. Phaedr. 274. D: πεττείας τε καὶ κυβείας.

πεττευτής, ὁ, *qui calculis ludit.* Polit. 292. E: ἄκροι πεττευταί. Etiam deus omnia disponens πεττευτὴς dicitur. Legg. X. 903. D: οὐδὲν ἄλλο ἔργον τῷ πεττευτῇ λείπεται πλὴν μετατιθέναι cet.

πεττευτικός, ή, όν, *calculis ludendi peritus;* fem. *calculis ludendi ars,* neutr. *calculorum lusus* et ad *calc. lus. pertinens.* Pol. I. 333. B: ὁ πεττευτικός. II. 374. C. Gorg. 450. D: οἷον ἡ ἀριθμητικὴ ... καὶ πεττευτική γε καὶ ἄλλαι πολλαὶ τέχναι. Charm. 174. B: ἢ τὸ πεττευτικόν (οἶδε); Alc. I. 110. E: οὔκουν τὰ πεττευτικά γε καὶ τὰ μή (ἱκανοὶ διδάξαι οὗτοι).

πεττεύω, *calculis ludo.* Pol. VI. 487. B: ὑπὸ τῶν πεττεύειν δεινῶν. Alc. I. 110. E. De lucri cup. 229. E: ὥσπερ πεττεύων ἐθέλω σοι ἐν τοῖς λόγοις ἀναθέσθαι ὅ τι βούλει τῶν εἰρημένων.

πεττός, ὁ, *calculus.* Pol. I. 333. B: εἰς πεττῶν θέσιν. Legg. V. 739. A: καθάπερ πεττῶν ἀφ' ἱερῶν (φορά). Eryx. 395. B: πεττούς.

πέττω, *coquo.* Pol. II. 372. B: τὰ μὲν πέψαντες, τὰ δὲ μάξαντες.

πεύκη, ἡ, *picea.* Legg. IV. 705. C: οὔτε τις ἐλάτη ... οὔτ' αὖ πεύκη.

πέψις, ἡ, *coctio.* Locr. 101. A: πέψεσι.

πῇ, *quomodo, quatenus* vel *quorsum.* Protag. 353. C: πονηρὰ δὲ αὐτὰ πῇ φατὲ εἶναι; Phaedr. 246. B: πῇ δὴ οὖν θνητόν τε καὶ ἀθάνατον ζῶον ἐκλήθη πειρατέον εἰπεῖν. Phaed. 76. B: πῇ σοι δοκεῖ περὶ αὐτοῦ; Phil. 41. E: πῇ δὴ καὶ πῶς; Pol. VII. 537. E: πῇ μάλιστ'; ἔφη. Tim. 49. B: πῶς ... καὶ πῇ cet. Legg. III. 686. B: πῶς οὖν καὶ πῇ διώλετο; 693. B: πῇ δὴ οὖν ποτὲ ἀπώλετο —; al. — Cum vv. motum significantibus est *quo* (pr. *qua via*). Polit. 258. E:

μᾶλλον δέ μοι δεῦρο ἕπου. ΣΩ. *Πῇ;* ΞΕ. *Τῇδε.* 292. B: *τῇδε ἑπόμενος.* ΣΩ. *Πῇ;* Parm. 135. C: *πῇ τρέψει ἀγνοουμένων τούτων;* Pol. II. 365. B: *πῇ* (codd. nonnulli *ποῖ*) *πορευθεὶς τὸν βίον ὡς ἄριστα διέλθοι.* Legg. IX. 862. C: *τῇδε ῥέπειν χρὴ φάναι.* ΚΛ. *Πῇ;* Enclit. *πῄ*, *aliqua ratione; quodammodo.* Phaedr. 246. D: *κεκοινώνηκε δέ πῃ μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θείου.* Theaet. 191. B: *ἀλλά πῃ δυνατόν.* Parm. 163. D: *οὐδέ πῃ μετέχει οὐσίας.* Tim. 51. A: *μεταλαμβάνον ... ἀπορώτατά πῃ τοῦ νοητοῦ* cet. 71. *ἵνα ἀληθείας πῃ προσάπτοιτο.* al. — Cum v. *ἄλλῃ* est *alio quo pacto.* Crat. 427. E: *ἢ ἔχεις πῃ ἄλλῃ κάλλιον λέγειν;* Conv. 189. C: *ἄλλῃ γέ πῃ ἐν νῷ ἔχω λέγειν ἢ ᾗ σὺ* cet. Pol. V. 459. B. al. — Post coniunctt. *εἰ*, *ἐάν* al. est *qua* (ut Lat. *si qua*), germ. *etwa.* Prot. 354. E: *εἴ πῃ ἔχετε ἄλλο τι φάναι εἶναι τὸ ἀγαθὸν ἢ τὴν ἡδονήν.* Phaedr. 272. C: *εἴ τινά πῃ βοήθειαν ἔχεις.* Theaet. 180. E: *ἂν μή πῃ ἀμυνόμενοι διαφύγωμεν.* Soph. 242. B: *μή πῃ τεταραγμένοι ὦμεν περὶ ταῦτα.* al. Cum pronomm. verti potest *fere.* Phil. 32. D: *ὅτι ταύτῃ πῃ δεῖ διαθηρευθῆναι τὸ νῦν μεταδιωκόμενον.* Pol. IV. 433. E: *καὶ ταύτῃ ἄρα πῃ ... ἂν ὁμολογοῖτο.* I. 351. A: *τῇδέ πῃ σκέψασθαι* al.

πηγαῖος, α, ον, *fontanus.* Legg. VIII. 845. E: *πηγαῖον* (*ὕδωρ*). Critia 113. E: *ὕδατα ... πηγαῖα.* Id. Legg. VI. 761. B.

πηγή, ἡ, *fons;* trop. i. q. *origo, causa.* Phaedr. 230. B: *ἥ τε αὖ πηγὴ χαριεστάτη ... ῥεῖ* cet. 245. C: *τοῦτο πηγὴ καὶ ἀρχὴ κινήσεως.* 255. C: *ἡ τοῦ ῥεύματος ἐκείνου πηγὴ* cet. Tim. 85. B: *πηγὴ πάντων νοσημάτων.* Legg. X. 893. D: *διὸ δὴ τῶν θαυμαστῶν ἁπάντων πηγὴ γέγονεν.* Crat. 402. C: *πηγῆς ὄνομα ἐπικεκρυμμένον.* D: *πηγῆς ἀπείκασμα.* Phil. 62. D: *ἐπὶ τὴν τῶν ἡδονῶν πηγὴν ἰτέον.* Tim. 70. A: *πηγὴν τοῦ ... αἵματος.* 79. D: *οἷον ἐν ἑαυτῷ πηγήν τινα ἐνοῦσαν πυρός.* Legg. III. 690. D: *νῦν ... στάσεων πηγήν τινα ἀνευρήκαμεν ἡμεῖς.* VII. 808. D: *πηγὴν τοῦ φρονεῖν.* X. 891. C: *οἷον πηγήν τινα ἀνοήτου δόξης.* Legg. I. 636. D: *δύο ... αὗται πηγαὶ μεθεῖνται φύσει ῥεῖν.* Ax. 371. C: (*ἔνθα*) *πηγαὶ ... ὑδάτων καθαρῶν ῥέουσι.* Legg. V. 736. A: *ἐκ πολλῶν ... πηγῶν.* Critia 111. D: *ἐπὶ ταῖς πηγαῖς ταῖς πρότερον οὔσαις.* Legg. VIII. 844. A: *πηγὰς φανεράς.* 845. E. Menex. 237. E: *ἐὰν μὴ ἔχῃ πηγὰς τροφῆς τῷ γεννωμένῳ.*

πήγνυμι, *pango, compingo; figo, infigo* et *defigo;* intrans. et pass. *concresco; congelo; rigeo, obrigesco.* Tim. 62. B: *πήγνυσι.* 46. D: *πηγνύντα τε καὶ διαχέοντα.* Pol. VII. 530. D: *ὡς πρὸς ἀστρονομίαν ὄμματα πέπηγεν* (*oculos defixos habet*) cet. X. 605. A: (*ὅτι οὐ*) *ἡ σοφία αὐτοῦ τούτῳ ἀρέσκειν πέπηγεν* (*in eo defixa est ut huic placere studeat*). Tim. 77. C: *μόνιμον ... πέπηγε* (*obriguit*). 58. E: *τὸ ... πεπηγός.* 59. A. Pol. IV. 436. D: *ἐν τῷ αὐτῷ πήξαντες τὸ κέντρον.* Legg. VII. 817. C: *σκηνάς τε πήξαντας κατ' ἀγοράν* cet. Polit.

287. E: οὐ γὰρ ἐπὶ γενέσεως αἰτίᾳ πήγνυνται (v. αἰτίαι πήγνυνται). Tim. 82. D. 85. D. Phaed. 118: ὅτι ψύχοιτό τε καὶ πήγνυτο (Cl. πηγνῦτο). Tim. 85. E: πηγνυμένη. 49. B: πηγνύμενον (ὕδωρ). 59. B: τὸ μὲν (γένος) ... χρυσὸς ... ἐπάγη. Pol. VII. 530. D: ὡς πρὸς ἐναρμόνιον φορὰν ὦτα παγῆναι. Def. 411. C: μυελὸς ὑπὸ θερμοῦ παγείς. Phaedr. 246. C: ψυχὴ καὶ σῶμα παγέν. Tim. 59. E. 82. D: παγέντος. 87. A: οὕτω κακῶς παγέντων.

πηδάλιον, τό, *gubernaculum.* Hipp. min. 374. E: οἷον πηδάλιον cet. Crat. 390. D: ποιῆσαι πηδάλιον, ἐπιστατοῦντος κυβερνήτου. Pol. VI. 488. C: ὅπως ἂν σφίσι (al. ἄν σφισι) τὸ πηδάλιον ἐπιτρέψῃ. Polit. 272. E: οἷον πηδαλίων οἴακος ἀφέμενος. 273. D. De lucri cup. 226. B: ἱστία καὶ πηδάλια. Clit. 408. B: καθάπερ πλοῖον, παραδόντι (v. παραδιδόναι) τὰ πηδάλια τῆς διανοίας ἄλλῳ.

πήδησις, ἡ, *trepidatio.* Legg. VII. 791. A: γαλήνην ... τῆς περὶ τὰ τῆς καρδίας χαλεπῆς γενομένης ἑκάστων πηδήσεως. Tim. 70. C: τῇ πηδήσει τῆς καρδίας.

πηδῶ, *salio; mico; trepido.* Conv. 215. E: ἡ ... καρδία πηδᾷ. Id. Ion. 535. C. Legg. II. 672. C: ἀτάκτως ... πηδᾷ. 664. E: (ὡς ἡ φύσις ... τῶν νέων) φθέγγοιτο ... ἀεὶ ἀτάκτως καὶ πηδῷ. 673. C: τὸ κατὰ φύσιν πηδᾶν εἰθίσθαι πᾶν ζῶον. Phaedr. 251. D: πηδῶσα οἷον τὰ σφύζοντα. Tim. 70. D: πηδῶσα εἰς ὑπεῖκον. Ep. VII. 341. C: οἷον ἀπὸ πυρὸς πηδήσαντος ἐξαφθὲν φῶς.

πηκτίς, ἡ, *instrumentum musicum.* Pol. III. 399. C: τριγώνων ... καὶ πηκτίδων ... δημιουργοὺς οὐ θρέψομεν.

πηκτός, ή, όν, *concretus.* Locr. 99. C: ὕδωρ ... τὸ μὲν ῥυτόν, τὸ δὲ πακτόν. Ib. πακτῶ. Tim. 59. C: τῶν λαμπρῶν πηκτῶν τε ... ὑδάτων.

πηλίκος, η, ον, *quantus.* Men. 82. D: πηλίκη τις ἔσται ἐκείνου ἡ γραμμὴ ἑκάστη. 85. A: πηλίκον τί ἐστι τοῦτο τὸ χωρίον. 83. E: πηλίκην τινὰ φῂς αὐτὴν εἶναι.

πηλός, ὁ, *lutum, coenum.* Phaed. 110. A: πηλὸς ἀμήχανος. Theaet. 147. A: πηλὸς ὁ τῶν χυτρέων cet. Parm. 130. C: πηλὸς καὶ ῥύπος cet. Phaed. 111. D: ὑγροῦ πηλοῦ. 113. A. Theaet. 147. A. Tim. 25. D. Pol. II. 363. D: εἰς πηλόν τινα κατορύττουσιν ἐν Ἅιδου. Critia 108. E.

πηλώδης, ὁ ἡ, *lutulentus.* Phaed. 113. B: χωρεῖ ... θολερὸς καὶ πηλώδης.

πῆμα, τό, *pernicies.* Ion. 538. D. (Hom.).

πημαίνω, *damno afficio.* Legg. IX. 862. A: εἴ τίς τινά τι πημαίνει μὴ βουλόμενος. XI. 932. E: ὅσα τις ἄλλος ἄλλον πημαίνει φαρμάκοις. 933. E: ὅσα τις ἂν ἕτερος ἄλλον πημήνῃ. Pol. II. 364. C: ἐάν τέ τιν' ἐχθρὸν πημῆναι ἐθέλῃ. Legg. XI. 933. E: τῷ πημανθέντι.

πηνίκα, *qua hora, quam mane.* Crit. init. πηνίκα μάλιστα;

πῆξις, ἡ, solidatio. Polit. 280. D: *τὰς τῶν θυρωμάτων πήξεις.* **concretio.* Phil. 32. A: *ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζώου τῆς ὑγρότητος πῆξις λύπη.*

πηρῶ, debilito. Phaedr. 257. A: *τὴν ἐρωτικήν μοι τέχνην ... μήτε ἀφέλῃ μήτε πηρώσῃς δι' ὀργήν.*

πήρωσις, ἡ, mutilatio. Legg. IX. 874. E: *πηρώσεις ἐκ τραυμάτων.* XI. 925. E: *σωμάτων νοσήματα καὶ πηρώσεις.*

πηχυαῖος, α, ον, cubitalis. Phaed. 96. E: *τὸ δίπηχυ τοῦ πηχυαίου μεῖζον εἶναι* cet. 101. B.

πῆχυς, ὁ, cubitus. Tim. 75. A: *τά τε τῶν βραχιόνων ὀστᾶ καὶ τὰ τῶν πήχεων.* **cubitum* (*Elle*). Alc. I. 126. D: *περὶ σταθμῆς καὶ πήχεως ὁπότερον μεῖζον.*

πιαίνω, sagino. Legg. VII. 807. A: (*ἆρα*) *ἐν τρόπῳ βοσκήματος ἕκαστον πιαινόμενον αὐτῶν δεῖ ζῆν;*

πιέζω, premo. Phaed. 117. E: *σφόδρα πιέσας αὐτοῦ τὸν πόδα.* **firme comprehendo* vel *teneo.* Legg. XII. 965. D: *οἷόνπερ σφόδρα πιέσαντες μὴ ἀνῶμεν.* — Ut Lat. *premo* est etiam *refello* vel *redarguo.* Crat. 409. A: *τοῦτο ... τὸ ὄνομα φαίνεται τὸν Ἀναξαγόραν πιέζειν.*

πίειρα, adj. fem., *pinguis.* Critia 111. B: *τῆς γῆς ὅση πίειρα καὶ μαλακή.* C: *πεδία πλήρη γῆς πιείρας.*

πιθανολογία, ἡ, probabilitas. Theaet. 162. E: *εἰ ἀποδέξεσθε πιθανολογίᾳ τε καὶ εἰκόσι περὶ τηλικούτων λεγομένους λόγους.*

πιθανός, ἡ, όν, persuadens; fidem habens; in re pos. *ad persuadendum accommodatus; probabilis, verisimilis.* Phaed. 88. D: *σφόδρα πιθανὸς ὤν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον.* Legg. II. 663. B. Critia 110. D: *τὸ περὶ τῆς χώρας ἡμῶν πιθανὸν καὶ ἀληθὲς ἐλέγετο.* Legg. III. 677. A: *πανὺ μὲν οὖν πιθανὸν τὸ τοιοῦτον πᾶν παντί.* Phaedr. 269. D: *τὴν τοῦ τῷ ὄντι ῥητορικοῦ τε καὶ πιθανοῦ τέχνην.* 272. D. Legg. VIII. 836. C: *τάχ' ἂν χρῷτο πιθανῷ λόγῳ.* Gorg. 458. E: *ὥστ' ἐν ὄχλῳ πιθανὸν εἶναι.* Conv. 223. A: *ὡς ... πιθανὸν λόγον εὗρεν ὥστε* cet. Legg. VII. 791. B: *ταῦτα ... πιθανὸν λόγον ἔχει τινά.* Ep. VII. 346. A. Gorg. 493. A: *διὰ τὸ πιθανόν τε καὶ πιστικόν.* Theaet. 178. E. Polit. 287. D: *εἰρηκέναι τι πιθανόν.* Legg. X. 886. E: *εἰς τὸ πιθανὸν περιπεπεμμένα.* VI. 782. D: *πιστεύεσθαι πιθανά.* Pol. VIII. 568. C: *καλὰς φωνὰς ... καὶ πιθανὰς μισθωσάμενοι.* Gorg. 457. A: *ὥστε πιθανώτερος εἶναι ἐν τοῖς πλήθεσιν ἐμβραχὺ περὶ ὅτου ἂν βούληται.* 459. A. Phaed. 69. E: *εἴ τι ... ὑμῖν πιθανώτερός εἰμι ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθηναίων δικασταῖς, εὖ ἂν ἔχοι.* Epin. 981. A: *τό γε πρῶτον ... πιθανώτερον ἂν εἴη σχεδὸν ὑπηργμένον.* Crat. 399. E: *δοκῶ ... μοί τι καθορᾶν πιθανώτερον τούτου τοῖς ἀμφὶ Εὐθύφρονα.* De lege 318. E: *καίτοι γε πιθανώτεροί εἰσιν ἢ σύμπαντες οἱ τραγῳδοποιοί.* Ax. 369. D: *κἂν πιθανωτέρους τούτων λόγους ... κροτήσῃς.* Legg. II. 665. D: *τὸ*

ἄριστον τῆς πόλεως ... φρονήσει (*prudentia*) πιθανώτατον ὂν τῶν ἐν τῇ πόλει. Gorg. 479. C: ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν.

πιθανότης, ἡ, *probabilitas.* Legg. VIII. 839. D: βούλεσθε ὑμῖν πειραθῶ τινὰ λόγον ἐχόμενον πιθανότητος εἰπεῖν τινός; XII. 949. B: πιθανότητος χάριν. Crat. 402. A: οἶμαι μέντοι τινὰ πιθανότητα ἔχον. Legg. X. 887. B.

πιθανουργικός, ή, όν, *persuadendi vim habens.* Soph. 222. D: τῆς ... πιθανουργικῆς. C: πιθανουργικήν τινα μίαν τέχνην προσειπόντες.

πιθανῶς, *ad persuadendum apposite; probabiliter.* Phaedr. 269. C: τὸ δ' ἕκαστα τούτων πιθανῶς λέγειν cet. Apol. 17. A: οὕτω πιθανῶς ἔλεγον. 23. E. Gorg. 456. C: οὐ γάρ ἐστι περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς ἢ ἄλλος cet. Phaed. 63. B: πιθανώτερον ἀπολογήσασθαι ἢ cet.

πίθηκος, ὁ, *simia.* Hipp. mai. 289. B: ὅτι ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται καὶ σοφίᾳ καὶ κάλλει cet. Pol. IX. 590. B: ἀντὶ λέοντος πίθηκον γίγνεσθαι. X. 620. C: πίθηκον ἐνδυομένην. Lach. 196. E.

πίθος, ὁ, *dolium.* Gorg. 493. B: ὡς τετρημένος εἴη πίθος. Lach. 187. B: ἐν πίθῳ ἡ κεραμεία γιγνομένη. Gorg. 493. A: τοῦτο ... ὠνόμασε πίθον. B: εἰς τὸν τετρημένον πίθον. D: εἰ δυεῖν ἀνδροῖν ἑκατέρῳ πίθοι πολλοὶ εἶεν. Pol. II. 379. D. (Hom.).

πικραίνομαι, *exacerbor.* Legg. V. 731. D: μὴ ... πικραινόμενον διατελεῖν.

πικρός, ά, όν, *amarus*; trop. *acerbus, molestus.* Gorg. 485. B: πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι. Conv. 186. D. Tim. 83. A: πικρὸν ὂν παντὶ χαλεπὸν προσπίπτει τοῦ σώματος. Legg. IV. 705. A: ἁλμυρὸν καὶ πικρὸν γειτόνημα. Tim. 83. B: τοῦ πικροῦ. Phil. 46. C: τὸ ... λεγόμενον πικρῷ γλυκὺ μεμιγμένον. Theaet. 159. E: πικρόν (οἶνον). Legg. III. 691. A: διὰ ... ἀμουσίαν τὴν πικράν. VIII. 843. C: χαλεπὴν καὶ σφόδρα πικρὰν γειτονίαν. XI. 935. A: πικρὰν τοῦ θυμοῦ χάριν ἀποδεχόμενος. Lys. 215. E: τὸ ... πικρὸν γλυκέος (ἐπιθυμεῖν). Tim. 86. E: πικροὶ καὶ χολώδεις χυμοί. Theaet. 166. E: ὅτι τῷ ... ἀσθενοῦντι πικρὰ φαίνεται ἃ ἐσθίει καὶ ἔστι. Tim. 65. D. Gorg. 522. B: λέγοντα πικροὺς λόγους. Ep. VII. 336. B: εἰς ὕστερον ἀποτελεῖ καρπὸν τοῖς γεννήσασι πικρότατον. Pol. VIII. 569. C: τὴν χαλεπωτάτην τε καὶ πικροτάτην δούλων δουλείαν μεταμπισχόμενος. Gorg. 522. A: πικρότατα πώματα διδούς.

πικρότης, ἡ, *amaritudo.* Tim. 83. B: ἡ πικρότης ... βαφεῖσα αἵματι. Theaet. 159. E: αἴσθησιν πικρότητος. Tim. 65. E: ἄνευ πικρότητος τραχείας. 71. B. C. 83. B. Theaet. 159. E: πικρότητα. Tim. 82. E: χρώμασι καὶ πικρότησι (v. πυκνότησι) ποικιλλόμενον.

πίλησις, ἡ, *densatio, coarctatio.* Tim. 58. B: ἡ ... τῆς

πιλήσεως ξύνοδος τὰ σμικρὰ εἰς τὰ τῶν μεγάλων διάκενα ξυνωθεῖ. 76. C: *πυκνότερον τῇ πιλήσει τῆς ψύξεως.* Sensu concr. *quod e lana coacta confectum est.* Legg. VIII. 849. C: *ἢ καὶ πάσης ἐσθῆτος ἢ πλοκῆς ἢ πιλήσεως ἤ τινων ἄλλων τοιούτων.*

πιλητικός, ή, όν, fem. *lanae cogendae ars.* Polit. 280. C: *τὴν ... πιλητικήν.*

πιλητός, ή, όν, e lana coacta factus. Tim. 74. B: *τὰ πιλητὰ ... κτήματα.*

πιλίδιον, τό, pileolus vel *pileus* (germ. *Filzhut*). Pol. III. 406. D: *πιλίδια ... περὶ τὴν κεφαλὴν περιτιθείς.*

πίλναμαι, accedo. Conv. 195. D. (Hom.).

πῖλος, ὁ, pr. *pilus*; in univ. *quod coactum est* (germ. *Filz*). Legg. XII. 942. D: *τὴν τῶν οἰκείων ἀπολλύντας πίλων τε καὶ ὑποδημάτων* (int. *pilos* et *callum*) *γένεσιν καὶ φύσιν.* Conv. 220. A: *ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ ἀρνακίδας.*

πίμπλημι, impleo. Gorg. 493. E: *πιμπλάναι αὐτά.* Pol. IX. 586. B: *οὐδὲ τὸ στέγον ἑαυτῶν πιμπλάντες.* IV. 442. A: *τῷ πίμπλασθαι τῶν περὶ σῶμα καλουμένων ἡδονῶν.* Ep. VII. 335. B. Pol. X. 606. A: *τοῦτο τὸ ὑπὸ τῶν ποιητῶν πιμπλάμενον καὶ χαῖρον.* Phaedr. 248. C: *λήθης τε καὶ κακίας πλησθεῖσα.* Pol. IX. 571. C: *ἢ σίτων, ἢ μέθης πλησθέν.*

πινάκιον, τὸ, tabula. Legg. VI. 753. C: *εἰς πινάκιον γράψαντα.* Ib. *τῶν πινακίων.* Ib. pro v. *πινάκων* Par. A. ç. al. *πινακίων.*

πίναξ, ὁ, tabula. Critia 120. C: *ἐν χρυσῷ πίνακι γράψαντες.* Pol. VI. 501. A: *λαβόντες ... ὥσπερ πίνακα πόλιν τε καὶ ἤθη ἀνθρώπων.*

πίνω, bibo. Conv. 212. D: *ὅτι οὐ πίνομεν.* Euthyd. 299. E: *ὅτι καὶ πίνουσιν ἐκ τῶν ἑαυτῶν κρανίων κεχρυσωμένων.* Men. 95. D: *πῖνε* (Theogn.). Conv. 176. B: *τίνι τρόπῳ ἂν ὡς ῥᾷστα πίνοιμεν.* Euthyd. 280. C. Theaet. 159. C: *ὅταν ... οἶνον πίνω ὑγιαίνων.* Gorg. 494. C: *διψῶντα πίνειν.* Conv. 176. C: *ὑμεῖς οἱ δυνατώτατοι πίνειν.* 211. D: *μήτε ἐσθίειν μήτε πίνειν.* Pol. III. 417. A: *οὐδὲ πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ.* Legg. VI. 775. B: *πίνειν ... εἰς μέθην.* Gorg. 467. C: *οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν.* Legg. VI. 761. B: *πίνουσαι.* Crat. 406. C: *τῶν πινόντων τοὺς πολλούς.* Conv. 176. E: *οὕτω πίνοντας πρὸς ἡδονήν.* Pol. VI. 488. C. Phaed. 117. C: *ὡς ... εἴδομεν πίνοντά τε καὶ πεπωκότα.* Lys. 219. E: *κώνειον πεπωκότα.* Prot. 347. E: *κἂν πάνυ πολὺν οἶνον πίωσιν.* Gorg. 456. B: *φάρμακον πιεῖν.* 503. A: *διψῶντα πιεῖν.* Pol. III. 406. A: *τῇ δούσῃ πιεῖν.* X. 621. A. III. 406. D: *παρὰ τοῦ ἰατροῦ φάρμακον πιών.* Critia 120. B. Prot. 314. A: *πιόντα ἢ φαγόντα.* Pol. X. 621. A. III. 408. B: *κυκεῶνα πιόντες.* Phaed. 116. E: *δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα.* —

Verb. Legg. II. 674. B: *ἐν οἷς ... οὐ ποτέος οἶνος.* Prot. 314. A: *ὅ τι τε ἐδεστέον ἢ ποτέον* est. Conv. 213. E. Crit. 47. B.

πιπράσκω, *vendo.* Soph. 224. A: *πιπρασκομένην* (*μουσικήν*). Phaed. 69. B: *μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα.* Legg. VIII. 849. B: *ὧν δεῖ πραθῆναι τὸ μέρος* cet. 850. A: *τὸ ... ὠνηθὲν ἢ πραθέν.* Ep. VII. 347. D: *πραθείσης.* Legg. XI. 915. E: *περὶ τῶν μὴ πραθέντων κατὰ τὰ νῦν λεγόμενα.* — Verb. Legg. VIII. 849. C: *ὅσα πρατέα ἑκάστοις ἢ ὠνητέα ... τοῖς δεομένοις.*

πίπτω, *cado, decido*, etiam *incido; labor, ruo.* Pol. X. 619. E: (*εἰ*) *ὁ κλῆρος αὐτῷ τῆς αἱρέσεως μὴ ἐν τελευταίοις πίπτοι.* Phaed. 83. D: *ὥστε ταχὺ πάλιν πίπτειν εἰς ἄλλο σῶμα.* Euthyd. 288. A: *πίπτειν* (*ὁ λόγος*). Hipp. min. 374. A: *ἐν πάλῃ τὸ πίπτειν.* Ib. *ὁ ἑκὼν πίπτων* (*παλαιστής*). Legg. IV. 709. A: *ξυμφοραὶ παντοῖαι πίπτουσαι.* Def. 416: *τῶν ὑπὸ τὸ αὐτὸ γένος κατά τινα διαφορὰν πιπτόντων.* Locr. 100. B: *τὰς ... ὑπ' ἀντίλαψιν μὴ πιπτούσας* (*κινάσιας*). Phil. 22. E: *ἔμοιγε δοκεῖ νῦν ... ἡδονή σοι πεπτωκέναι* (*prostrata esse*). Pol. X. 604. C: *πρὸς τὰ πεπτωκότα* (*prout talia ceciderint*) *τίθεσθαι τὰ αὑτοῦ πράγματα.* Lach. 181. B: *ὀρθὴ ἂν ἡμῶν ἡ πόλις ἦν καὶ οὐκ ἂν ἔπεσε τότε τὸ τοιοῦτον πτῶμα.* Legg. VIII. 840. D: *διὰ κάκην ... τὴν τῶν πολλῶν εἰς ἀπορίαν ἐπέσομεν.* Phaedr. 248. C: (*ὅταν*) *ἐπὶ τὴν γῆν πέσῃ.* Phaed. 100. E: *τούτου ἐχόμενος ἡγοῦμαι οὐκ ἄν ποτε πεσεῖν.* 109. E: *πρὸς τὸ μὴ πεσεῖν.* Legg. III. 701. D: *ἀπό τινος ὄνου πεσεῖν.* Menex. 244. C: *ἀνθ' ὧν ἡμεῖς τἀκείνων ἐκωλύσαμεν πεσεῖν.* Pol. III. 399. B: *ἢ εἴς τινα ἄλλην ξυμφορὰν πεσόντος.* Theaet. 174. A: *πεσόντα εἰς φρέαρ.* Pol. X. 617. E: *τὸν ... παρ' αὐτὸν πεσόντα* (*κλῆρον*). Legg. IX. 862. B: *τὸ πεσὸν ὑπό του πάλιν ἐξορθοῦντα.* Phaedr. 250. A: *αἳ δεῦρο πεσοῦσαι ἐδυστύχησαν.* Euth. 14. D: *ὥστε οὐ χαμαί ποτε πεσεῖται ὅ τι ἂν εἴπῃς.* Sensu activo positum, ut verti possit *iacere* (i. q. *spargere*), reperitur. Polit. 272. E: *τοσαῦτα εἰς γῆν σπέρματα πεσούσης* (*τῆς ψυχῆς*).

πιστευτικός, ή, όν, *fidem efficiens.* Gorg. 455. A: *ἡ ῥητορικὴ ... πειθοῦς δημιουργός ἐστι πιστευτικῆς, ἀλλ' οὐ διδασκαλικῆς* cet.

πιστευτικῶς cum v. *ἔχειν*, *confidere.* Hipp. min. 364. A: *εἴ τις ... οὕτως ἀφόβως τε καὶ πιστευτικῶς ἔχων τῷ σώματι ἔρχεται αὐτόσε ἀγωνιούμενος.*

πιστεύω, *fidem habeo; credo; confido.* Phaedr. 243. E: *τοῦτο μὲν πιστεύω* cet. Gorg. 524. A: *ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι.* Pol. IV. 439. E. Polit. 264. C: *πιστεύεις εἶναι.* Crat. 399. A: *τῇ τοῦ Εὐθύφρονος ἐπιπνοίᾳ πιστεύεις.* 425. B: *οὐ πιστεύεις σαυτῷ οἷός τ' ἂν εἶναι ταῦτα οὕτω διελέσθαι;* Conv. 207. C. Legg. V. 742. C: *ὅτῳ μή τις πιστεύει.* Alc. I. 123. E: *τί οὖν ποτ' ἔστιν ὅτῳ πιστεύει τὸ μειράκιον;* Legg. VII. 798. D: *τοῖς ἔμπροσθεν λόγοις πι-*

στεύομεν —; VI. 777. A: *οἱ μὲν πιστεύουσί τε οὐδὲν γένει οἰκετῶν* cet. Phil. 13. A: *ὥστε τούτῳ γε τῷ λόγῳ μὴ πίστευε* cet. Demod. 385. C: *ὅτι ταχέως καὶ τοῖς τυχοῦσιν ἀνθρώποις λέγουσι πιστεύοι.* Legg. VIII. 850. B: (*ἐὰν*) *πιστεύῃ πείσειν βουλὴν καὶ ἐκκλησίαν.* Phaed. 83. A: *πιστεύειν ... μηδενὶ ἄλλῳ ἀλλ' ἢ αὐτὴν αὑτῇ.* Parm. 141. E: *εἰ δεῖ τῷ τοιῷδε λόγῳ πιστεύειν.* Legg. VI. 776. E. Gorg. 527. E: *ᾧ σὺ πιστεύων ἐμὲ παρακαλεῖς.* Legg. XI. 915. E: *πιστεύων πρὸς ὃν ἂν ἀλλάττηται.* Alc. I. 123. C. Pol. X. 603. A: *τὸ μέτρῳ γε καὶ λογισμῷ πιστεῦον.* V. 450. D: *πιστεύοντος ... ἐμοῦ ἐμοὶ εἰδέναι ἃ λέγω* cet. Phil. 57. D: *σοὶ ... πιστεύοντες.* Demod. 382. E: *διότι ἐπίστευε τῷ κατηγοροῦντι.* Theaet. 144. E: *πότερον εὐθὺς ἂν ἐπιστεύομεν —;* Lach. 186. D: *εἰ μὴ αὐτοῖς ἐπίστευον ἱκανῶς εἰδέναι.* Prot. 348. E: *οὕτω πεπίστευκας σαυτῷ ὥστε* cet. Gorg. 454. D: *πεπιστευκέναι.* Legg. I. 635. E. Crat. 440. C: *πεπιστευκότα ἐκείνοις.* Alc. II. 146. A: *ἅτε ... ἄνευ νοῦ δόξῃ πεπιστευκότα.* Gorg. 454. E: *οἱ πεπιστευκότες.* Demod. 383. A: *ἐπίστευσε.* Apol. 18. C: *ἐν ᾗ* (*ἡλικίᾳ*) *ἂν μάλιστα ἐπιστεύσατε.* Alc. II. 147. E: *πιστεύσαιμεν.* Men. 91. D: *ἐγὼ ... οὐκ ἔχω ὅπως σοι πιστεύσω.* Pol. X. 603. B: *μὴ ... τῷ εἰκότι μόνον πιστεύσωμεν ἐκ τῆς γραφικῆς.* Phaed. 89. D: *ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης.* Pol. VII. 527. D: *χαλεπὸν πιστεῦσαι.* Epin. 983. A: *πιστεῦσαι ἄξιον.* 980. C: *πιστεύσας τοῖς θεοῖς.* Ep. VII. 332. A: *οὐκ ἀδελφοῖς πιστεύσας.* Gorg. 512. E: *πιστεύσαντα ταῖς γυναιξίν.* Phaed. 87. E. Legg. III. 682. C: *πιστεύσαντες οὐ σφόδρα ὑψηλοῖς τισὶ λόφοις.* VI. 771. C. Phaed. 88. C: *τίνι οὖν ἔτι πιστεύσομεν λόγῳ;* Legg. VI. 782. D: *πιστεύεσθαι πιθανά.* Lach. 181. B: *ὑπ' ἀνδρῶν ἀξίων πιστεύεσθαι.* Ep. I. 309. A: *διοικῶν τὴν ἡμετέραν ἀρχὴν πεπιστευμένος πάντων μάλιστα* (*prae reliquis omnibus mihi commissum*, int. imperium). Legg. I. 636. D: *ἐπειδὴ παρὰ Διὸς αὐτοῖς οἱ νόμοι πεπιστευμένοι ἦσαν γεγονέναι.* — Verb. Tim. 40. E: *τῷ νόμῳ πιστευτέον.* Demod. 386.

πιστικός, ή, όν, *fidei faciendae peritus.* Gorg. 455. A: *οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐστὶ ... ἀλλὰ πιστικὸς μόνον.*

πίστις, ἡ, *fides; fiducia;* etiam *promissum.* Gorg. 454. D: *μάθησις καὶ πίστις.* Def. 415. D: *δόμα μετὰ πιστέως.* Phaedr. 275. A: *διὰ πίστιν γραφῆς.* Critia 117. D: *τοῖς ... πάντων διαφέρουσι πρὸς πίστιν.* Legg. XII. 966. C: *τὸ πᾶσαν πίστιν λαβεῖν τῶν οὐσῶν περὶ θεῶν.* D: *ὅτι δύ' ἐστον τὼ περὶ θεῶν ἄγοντε εἰς πίστιν.* III. 701. C: *ὅρκων καὶ πίστεων.* Phaedr. 256. D: *πίστεις τὰς μεγίστας ἡγουμένω ἀλλήλοιν δεδωκέναι τε καὶ δεδέχθαι.* Critia 119. D: *πίστεις ἀλλήλοις τοιάσδε ἐδίδοσαν πρότερον.* **probatio* (id quo aliquid probabile redditur). Phaed. 70. B: *τοῦτο ... ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως.* Phil. 59. C: *πίστεως*

χάριν. *fides, fere i. q. persuasio (germ. Glaube). Pol. VI. 505. E: οὐδὲ πίστει χρήσασθαι μονίμῳ. 511. E: τῷ τρίτῳ ... πίστιν ἀπόδος. VII. 534. A: δευτέραν δὲ διάνοιαν, τρίτην δὲ πίστιν καὶ εἰκασίαν τετάρτην. Ib. (τοῦτο) ἐπιστήμην πρὸς πίστιν καὶ διάνοιαν πρὸς εἰκασίαν. Tim. 29. C: ὅτι ... πρὸς γένεσιν οὐσία, τοῦτο πρὸς πίστιν ἀλήθεια. 37. B: δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς. Etiam verti potest informatio (germ. Vorstellung). Pol. X. 601. E: ὁ ... ποιητὴς πίστιν ὀρθὴν ἕξει περὶ κάλλους τε καὶ πονηρίας ... ὁ δὲ χρώμενος ἐπιστήμην.

πιστός, ή, όν, fidus, fidelis; certus. Legg. I. 630. A: πιστὸς ἀνήρ (Theogn.). B: πιστὸς ... καὶ ὑγιὴς ἐν στάσεσιν. V. 730. C. Crat. 437. B: τὸ πιστὸν ἱστᾶν παντάπασι σημαίνει. Tim. 49. B: ὥστε τινὶ πιστῷ καὶ βεβαίῳ χρήσασθαι λόγῳ. Phaed. 89. D: πιστὸν τὸν ἄνθρωπον. Tim. 52. B: μόγις πιστόν. Ep. VII. 336. D: μήτε οἴεσθαι πιστὸν ἄν τι καὶ ὑγιὲς πρᾶξαί ποτε. X. 358. C: τὸ ... βέβαιον καὶ πιστὸν καὶ ὑγιές. Pol. VIII. 567. D: τίνες οὖν οἱ πιστοί; Ep. VII. 325. D: ἄνευ φίλων ἀνδρῶν καὶ ἑταίρων πιστῶν. Pol. VIII. 568. A: εἰ τοιούτοις φίλοις τε καὶ πιστοῖς ἀνδράσι χρῆται. VI. 503. C: οἷς (ἤθεσιν) ἄν τις μᾶλλον ὡς πιστοῖς χρήσαιτο. Phaedr. 233. D: οὔτ' ἂν πιστοὺς φίλους ἐκεκτήμεθα. Demod. 386: πιστοὺς νομίζειν. Pol. VIII. 567. D: τοσούτῳ πλειόνων καὶ πιστοτέρων δορυφόρων δεήσεται. Critia 117. D: τοῖς ... πιστοτέροις. Pol. VIII. 567. E: ἐπεί τοι καὶ πιστότατοι αὐτῷ οὗτοί εἰσιν. *probabilis, credibilis. Critia 111. A: πῶς ... τοῦτο πιστόν —; Phaed. 107. B: εἰ πισταὶ ὑμῖν εἰσίν (αἱ ὑποθέσεις). Demod. 386: πῶς οὐχ ὁμοίως τὰ λεγόμενα πιστὰ εἴη ἂν ἢ ἄπιστα; Ib. οἱ δ' οὐ πιστὰ ἡγήσονται. Ep. II. 314. B: πιστότατα. *confidens. Legg. VII. 824: νυκτερευτὴν ... κυσὶ (ἄρκυσι?) καὶ πλέκταις (πλεκταῖς?) πιστόν.

πιστότης, ἡ, fides. Legg. I. 630. C: πιστότης ἐν τοῖς δεινοῖς (Theogn.).

πιστῶς, certo. Epin. 983. E: πιστῶς θεῖα φαίνεσθαι γεγονέναι τὰ τοιαῦτα ξύμπαντα.

πίστωσις, ἡ, confirmatio. Legg. XII. 943. C: μήτε μαρτύρων πιστώσεις λόγων.

πίττα, ἡ, pix. Tim. 60. A. Locr. 99. C: πίσσα.

πίτυς, ἡ, pinus. Legg. IV. 705. C: πίτυν.

πίων, ὁ, ἡ, pinguis. Polit. 309. B: πίονί τε καὶ μαλακῷ ... διανήματι προσχρωμένας. Pol. IV. 422. C: πλουσίοιν δὲ καὶ πιόνοιν. D: προβάτοις πίοσί τε καὶ ἁπαλοῖς.

πλάγιος, α, ον, obliquus, transversus. Pol. X. 598. A: ἐάν τε ἐκ πλαγίου αὐτὴν θεᾷ ἐάν τε καταντικρὺ cet. Ion. 536. A. Charm. 155. C: τὸν δὲ πλάγιον κατεβάλομεν. Tim. 39. A: κατὰ τὴν θατέρου φορὰν πλαγίαν οὖσαν. 63.

E: πλάγια καὶ πάντως διάφορα πρὸς ἄλληλα. 43. E: τοτὲ δὲ πλαγίας, τοτὲ δ' ὑπτίας. Critia 118. E. Theaet. 194. B: εἰς πλάγια δὲ καὶ σκολιά. Critia 112. B: ὑπ' αὐτὰ τὰ πλάγια αὐτῆς (τῆς ἀκροπόλεως).

πλάζομαι, *erro*. Locr. 97. A: πολλοὶ ... τῶν πλαζομένων (antec. τῶν ἀπλανέων, *inerrantium*, int. *stellarum*). Id. 99. E.

πλάνη, ἡ, *error*. Phaed. 81. A: πλάνης καὶ ἀνοίας ... ἀπηλλαγμένη. Pol. VI. 505. C: μῶν μή τι ἐλάττονος πλάνης ἔμπλεοι τῶν ἑτέρων; Hipp. min. ad fin. εἰ μηδὲ παρ' ὑμᾶς ἀφικόμενοι παυσόμεθα τῆς πλάνης. Soph. 245. E: μείζω καὶ χαλεπωτέραν φέρον ... πλάνην. Pol. IV. 444. B: τὴν τούτων ταραχὴν καὶ πλάνην εἶναι. X. 602. C: διὰ τὴν περὶ τὰ χρώματα αὖ πλάνην τῆς ὄψεως. Tim. 40. B: τὰ ... τρεπόμενα καὶ πλάνην τοιαύτην ἴσχοντα. Apol. 22. A. Ep. VII. 350. D: τὴν περὶ Σικελίαν πλάνην καὶ ἀτυχίαν. Tim. 39. C: οὐκ ἴσασι χρόνον ὄντα τὰς τούτων πλάνας. **digressio, libera expositio* vel *disputatio*. Parm. 136. E: ἄνευ ταύτης τῆς διὰ πάντων διεξόδου τε καὶ πλάνης. Legg. III. 683. A: νῦν οὖν τοσόνδε πλεονεκτοῦμεν τῇ πλάνῃ τοῦ λόγου. Parm. 135. E: ὅτι οὐκ εἴας ἐν τοῖς ὁρωμένοις οὐδὲ περὶ ταῦτα τὴν πλάνην ἐπισκοπεῖν.

πλανήτης, ὁ, *peregrinator*. Pol. II. 371. D: τοὺς δὲ πλανήτας ἐπὶ τὰς πόλεις ἐμπόρους (καλοῦμεν).

πλανητός, ή, όν, *errans, vagans*. Pol. V. 479. D: τῇ μεταξὺ δυνάμει τὸ μεταξὺ πλανητὸν ἁλισκόμενον. Tim. 19. E: ἅτε πλανητὸν ὂν κατὰ πόλεις οἰκήσεις τε ἰδίας. 38. C: ἐπίκλην ἔχοντα πλανητά (sic Par. A. al. Vulg. πλάνητες). Epin. 986. B: μία δὲ τῶν πλανητῶν (sic Par. A. al. Vulg. πάντων) ἄστρων. Legg. VII. 821. B: ἐπονομάζοντες πλανητὰ αὐτά.

πλάνος, ὁ, *error*. Phaed. 79. D: πέπαυται ... τοῦ πλάνου. **digressio, expositio*. Ep. VII. 344. D: τούτῳ ... τῷ μύθῳ τε καὶ πλάνῳ ὁ ξυνεπισπόμενος εὖ εἴσεται cet.

πλανῶ, *in errorem induco, decipio*. Legg. II. 655. D: τόδε δὲ μᾶλλον εἰκὸς πλανᾶν ἡμᾶς. Prot. 356. D: ἢ αὕτη μὲν ἡμᾶς ἐπλάνα —; Legg. II. 655. C: τὸ πεπλανηκὸς ἡμᾶς. Med. *vagor; aberro* et *oberro; fallor* et *fluctuo*. Hipp. mai. 304. C: ὅστις πλανῶμαι μὲν καὶ ἀπορῶ ἀεί. Hipp. min. 372. D: πλανῶμαι περὶ ταῦτα. 376. C. Alc. I. 112. D: περὶ ὧν οὕτω πλανᾷ. 117. A. C. Phaed. 79. C: (ὅτι) αὐτὴ πλανᾶται καὶ ταράττεται cet. 108. B. Legg. VII. 822. A: ὡς ... πλανᾶταί ποτε (τὰ ἄστρα). Alc. I. 117. B: ἢ καὶ πλανᾶταί σου ἡ δόξα περὶ ταῦτα; Phaedr. 263. B: ἐν οἷς πλανώμεθα. Pol. IX. 586. A: ταύτῃ πλανῶνται διὰ βίου. Phaed. 81. D: αἳ (ψυχαὶ) περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι. Legg. XII. 962. D: ὅτι θαυμαστὸν οὐδὲν πλανᾶσθαι τὰ τῶν πόλεων νόμιμα. Alc. I. 117. A. Menex. 248. A. Tim. 91. C: πλανώμενον πάντῃ κατὰ τὸ σῶμα.

Pol. VI. 485. B: *τῆς ἀεὶ οὔσης (οὐσίας) καὶ μὴ πλανωμένης ὑπὸ γενέσεως καὶ φθορᾶς.* Tim. 48. A: *τὸ τῆς πλανωμένης εἶδος αἰτίας.* Pol. VI. 484. B: *ἐν πολλοῖς καὶ παντοίως ἴσχουσι πλανώμενοι οὐ φιλόσοφοι.* Tim. 43. B: *πάντη ... πλανώμενα.* Soph. 230. B: *ἅτε πλανωμένων τὰς δόξας ῥᾳδίως ἐξετάζουσι.* Legg. I. 633. C: *νύκτωρ ... πλανωμένων.* VII. 821. E: *πάντη πλανωμένους.* Tim. 88. E: *τὰ ... περὶ τὸ σῶμα πλανώμενα παθήματα.* Lys. 213. E: *ὅτι ... οὐκ ἄν ποτε οὕτως ἐπλανώμεθα.* Polit. 264. C: *εἰ καὶ μὴ πεπλάνησαι περὶ τὰ Θετταλικὰ πεδία.* 263. A: *ἡμεῖς ... ἀπὸ τοῦ προτεθέντος λόγου πεπλανήμεθα.* Tim. 47. C: *(ἵνα) τὰς ἐν ἡμῖν πεπλανημένας (περιφορὰς) καταστησαίμεθα.* Polit. 263. A: *σὺ δὲ ἔτι πλέον ἡμᾶς κελεύεις πλανηθῆναι.* Ep. IV. 320. C. Tim. 86. E: *κατὰ τὸ σῶμα πλανηθέντες (χυμοί).* Hipp. min. 376. C: *εἰ δὲ καὶ ὑμεῖς πλανήσεσθε οἱ σοφοί, τοῦτ᾽ ἤδη καὶ ἡμῖν δεινόν.*

πλάσμα, τό, fictio; imago ficta. Theaet. 197. D: *κήρινόν τι ... πλάσμα.* Hipp. mai. 298. A: *τὰ πλάσματα τέρπει ἡμᾶς ὁρῶντας.* Theaet. 200. B: *κηρίνοις πλάσμασι.* Soph. 239. E: *ἐὰν ἐν κατόπτροις ἢ πλάσμασι λέγῃς τι.*

πλάστης, ὁ, fictor. Pol. IX. 588. C: *δεινοῦ πλάστου ... τὸ ἔργον.* Legg. II. 671. C: *τὸν πλάστην.*

πλάστιγξ, ἡ, lanx (librae). Pol. VIII. 550. E: *ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου.* Tim. 63. B: *τιθεὶς εἰς πλάστιγγας.*

πλαστικός, ή, όν, ad fingendum pertinens, fem. *fingendi ars.* Legg. III. 679. A: *αἱ πλαστικαὶ ... καὶ ὅσαι πλεκτικαὶ τῶν τεχνῶν* cet. Epin. 975. C: *πλαστικῶν καὶ πλεκτικῶν καὶ ἔτι ξυμπάντων ὀργάνων παρασκευή.* **compactus, solidus.* Tim. 55. E: *τῶν σωμάτων* (v. *σωματικῶν*) *πλαστικωτάτη (γῆ).*

πλαστός, ή, όν, fictus. Soph. 219. A: *περὶ τὸ ξύνθετον καὶ πλαστόν, ὃ δὴ σκεῦος ὠνομάκαμεν.*

πλαστῶς, ficte, simulate vel *specie.* Soph. 216. C: *οἱ μὴ πλαστῶς, ἀλλ᾽ ὄντως φιλόσοφοι.* Legg. I. 642. D: *ἀληθῶς καὶ οὔτι πλαστῶς εἰσὶν ἀγαθοί.* VI. 777. D: *διάδηλος ... ὁ φύσει καὶ μὴ πλαστῶς σέβων τὴν δίκην.*

πλάτανος, ἡ, platanus. Phaedr. 230. B: *ἡ ... πλάτανος αὕτη μάλ᾽ ἀμφιλαφής τε καὶ ὑψηλή.* 229. A: *ὁρᾷς ... ἐκείνην τὴν ὑψηλοτάτην πλάτανον;* 236. E. Legg. IV. 705. C: *πλάτανον ὀλίγην ἂν εὕροι τις.*

πλάτος, τό, latitudo. Critia 118. C: *τὸ ... βάθος καὶ πλάτος* cet. Legg. X. 896. D: *πλάτους καὶ βάθους* cet. Soph. 235. D: *ἐν μήκει καὶ βάθει καὶ πλάτει.* 266. A: *κατὰ πλάτος τέμνων.* Polit. 282. E: *μηκυνθέν τε καὶ σχὸν πλάτος.* Critia 115. D: *διώρυχα ... τρίπλεθρον τὸ πλάτος.* E. 117. C: *σταδίου τὸ πλάτος ἔχων.* Legg. VII. 819. E. 820. A. Polit. 284. E: *πλάτη.* Legg. VII. 819. C.

πλάττω, fingo, formo (etiam i. q. *instituo,* ut germ. *bil-*

den); *effingo*; *efficio*; etiam *confingo*, *comminiscor*. Phaedr. 246. C: πλάττομεν οὔτε ἰδόντες οὔθ' ἱκανῶς νοήσαντες θεόν. Soph. 235. E: ὅσοι γε τῶν μεγάλων πού τι πλάττουσιν ἔργων ἢ γράφουσιν. Pol. IV. 420. C: τὴν εὐδαίμονα (πόλιν) πλάττομεν. VI. 510. E: ἃ πλάττουσί τε καὶ γράφουσιν. Legg. X. 903. E: εἰ ... πρὸς τὸ ὅλον ἀεὶ βλέπων πλάττοι τις μετασχηματίζων τὰ πάντα. Pol. V. 466. A: (ὅτι) οὐκ ... τοῦτο εὔδαιμον πλάττοιμεν. II. 377. C: πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ μᾶλλον ἢ τὰ σώματα ταῖς χερσίν. VI. 500. D: μὴ μόνον ἑαυτὸν πλάττειν. Tim. 42. D: σώματα πλάττειν θνητά. Legg. II. 671. E: παιδεύειν τε καὶ πλάττειν. IV. 712. B: πλάττειν τῷ λόγῳ τοὺς νόμους. VII. 789. E: τὸ γενόμενον ... πλάττειν οἷον κήρινον. Epin. 984. B: ψυχὴν δ' ἐξ αὐτοῦ τιθῶμεν πλάττειν ζῷα δύναμιν ἔχοντα ... τῆς αὐτοῦ φύσεως. C: ἐξ ἀέρος πλάττειν τὴν ψυχὴν γένος ἕτερον ζώων. Pol. III. 415. A: ὁ θεὸς πλάττων ... χρυσὸν ἐν τῇ γενέσει ξυνέμιξεν αὐτοῖς. Legg. V. 746. A: πλάττων καθάπερ ἐκ κηροῦ τινὰ πόλιν καὶ πολίτας. Apol. 17. C: πλάττοντι λόγους. Tim. 88. C: τὸν ... σῶμα ἐμμελῶς πλάττοντα. Gorg. 483. E: ὃν (νόμον) ἡμεῖς τιθέμεθα πλάττοντες τοὺς βελτίστους cet. Phaed. 82. D: σώματα πλάττοντες (σώματι πράττοντες?). Crat. 414. D: τὸ ... στόμα πλάττοντες (*emollientes*). Pol. II. 374. A: ἡνίκα ἐπλάττομεν τὴν πόλιν. Tim. 50. A: πάντα ... σχήματα πλάσας ἐκ χρυσοῦ. 73. C. Pol. IX. 588. B: εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ. II. 377. B: μάλιστα ... τότε πλάττεται καὶ ἐνδύεται τύπος. Epin. 981. B: σώματι (προσήκει) ... πλάττεσθαι καὶ γίγνεσθαι καὶ ὁρᾶσθαι. Pol. III. 414. D: ἦσαν ... τότε τῇ ἀληθείᾳ ὑπὸ γῆς ἐντὸς πλαττόμενοι. IX. 588. D: πεπλάσθω. Legg. II. 668. E: τὸ γεγραμμένον ἢ τὸ πεπλασμένον. X. 933. B: κήρινα μιμήματα πεπλασμένα. Tim. 26. E: μὴ πλασθέντα μῦθον, ἀλλ' ἀληθινὸν λόγον. 78. C: τῷ πλασθέντι ζώῳ. Pol. II. 377. B: ὑπὸ τῶν ἐπιτυχόντων μύθους πλασθέντας. Med. Legg. VII. 800. B: καθάπερ ἐκμαγεῖ αὐτοῖσι ... πλάσασθαι τῷ λόγῳ. Polit. 297. E: κατίδωμεν ... δή τι σχῆμα ἐν τούτοις αὐτοῖς πλασάμενοι.

πλατύς, εῖα, ύ, *latus*. Phaed. 97. D: πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη. 99. B: ὥσπερ καρδόπῳ πλατείᾳ. Men. 80. A: ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ. Phaed. 111. D: πλατυτέρους. Pol. X. 616. E: πλατύτατον τὸν τοῦ χείλους κύκλον ἔχειν.

πλατυώνυχος, ὁ, ἡ, *ungues latos habens*. Def. 415. E: ζῷον ... πλατυώνυχον.

πλέγμα, τό, *textura*; *contextus*. Tim. 78. B: πρὸς τὰ ἔσχατα τοῦ πλέγματος. Soph. 262. D: τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον. Polit. 311. C: (ὁπόταν) τούς τ' ἄλλους ἐν ταῖς πόλεσι πάντας ... συνέχῃ τούτῳ τῷ πλέ-

γματι. Tim. 79. D: *τῷ τοῦ κύρτου πλέγματι.* Polit. 283. A: *ὅταν ... ἀπεργάζηται πλέγμα.* 289. C: *τοὺς περὶ αὐτὸ τὸ πλέγμα (πρᾶγμα?) ἀμφισβητοῦντας τῷ βασιλεῖ.* Tim. 78. B: *πλέγμα ἐξ ἀέρος καὶ πυρὸς οἷον οἱ κύρτοι ξυνυφηνάμενος.* D. Legg. V. 734. E: *καθάπερ ... δή τινα ξυνυφὴν ἢ καὶ πλέγμ' ἄλλ' ὁτιοῦν* cet.

πλεθριαῖος, α, ον, centum pedes longus vel *latus.* Critia 116. A: *τὴν γέφυραν πλεθριαίαν τὸ πλάτος οὖσαν.*

πλέθρον, τό, sexta pars stadii (idem fere quod Lat. *iugerum*). Theaet. 204. D: *ὁ τοῦ πλέθρου ἀριθμὸς καὶ τὸ πλέθρον ταὐτόν.* Critia 118. C: *πλέθρου ... βάθος ὀρώρυκτο.* Alc. I. 123. C: *γῆς πλέθρα ... οὐδὲ τριακόσια.* Critia 116. D: *τρισὶ πλέθροις.* Theaet. 174. E: *γῆς ... μύρια πλέθρα.*

πλειστάκις, plurimum, saepissime. Phil. 40. D: *πολλάκις δὲ καὶ ἴσως πλειστάκις.* Legg. IX. 863. E. Hipp. mai. 283. B. al. Cum part. *ὡς.* Pol. V. 459. D.

πλεῖστος, η, ον, plurimus; maximus. Prot. 342. A: *φιλοσοφία γάρ ἐστι παλαιοτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ* cet. Pol. VIII. 564. A: *δουλεία πλείστη.* IV. 442. A: *ὃ δὴ πλεῖστον τῆς ψυχῆς* (nect. *ὃ τῆς ψυχῆς*) *ἐν ἑκάστῳ ἐστί.* Conv. 196. C: *σωφροσύνης πλείστης μετέχει.* Pol. I. 331. A: *πλείστου ἀξίαν εἶναι.* II. 374. C: *πότερον οὐ περὶ πλείστου ἐστὶν εὖ ἀπεργασθέντα;* III. 397. D: *τῷ πλείστῳ ὄχλῳ.* Id. Legg. III. 700. C. Soph. 249. E: *ὅτι νῦν ἐσμὲν ἐν ἀγνοίᾳ τῇ πλείστῃ περὶ αὐτοῦ.* Gorg. 481. B: *ὅπως ὡς πλεῖστον χρόνον βιώσεται τοιοῦτος ὤν.* Pol. IX. 575. D: *ὃς ἂν αὐτῶν μάλιστα ... μέγιστον καὶ πλεῖστον ἐν τῇ ψυχῇ τύραννον ἔχῃ.* Phil. 60. D: *ὡς πλείστην* (*ἡδονήν*). Crat. 427. C: *τοῦτο πλεῖστον αὐτῷ εἰς τὸ ὄνομα ἐνεκέρασε.* Conv. 222. A: *ἐπὶ πλεῖστον τείνοντας.* Pol. II. 383. C: *καθ' ὅσον ἀνθρώπῳ ἐπὶ πλεῖστον οἷόν τε.* Legg. IV. 718. A: *ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου.* Epin. 981. D: *τὸ ... πλεῖστον πυρὸς ἔχει.* Prot. 342. B: *σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσίν.* Pol. V. 460. B: *ὡς πλεῖστοι τῶν παίδων.* Polit. 288. B: *ἐν ᾧ τὰ πλεῖστά ἐστι τῶν πάλαι ῥηθέντων.* Tim. 88. A: *τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς πλείστους.* Conv. 193. D: *ὃς ... ἡμᾶς πλεῖστα ὀνίνησιν.* 222. A: *πλεῖστα ἀγάλματα ἀρετῆς ἐν αὑτοῖς ἔχοντας.* Pol. VII. 541. A: *τὸ ἔθνος ... πλεῖστα ὀνήσειν.* Epin. 975. E: *ἡ ... μεγίστη καὶ εἰς πλεῖστα* (*ad plurima pertinens*) ... *στρατηγικὴ τέχνη.* Adverbiorum partes agunt *πλεῖστον, longissime* (Pol. X. 587. A: *ἃ πλεῖστον φιλοσοφίας ... ἀφέστηκε.* B.) et *maxime* (Pol. V. 453. E: *πλεῖστον κεχωρισμένην φύσιν ἔχοντας.* Theag. 130. D.); *τὸ πλεῖστον, maximam partem* (Polit. 288. B. Pol. VII. 528. A. Tim. 64. C. Legg. III. 679. A. IV. 720. D: *ὡς ἐπὶ τὸ πλεῖστον*); c. genit. (Tim. 86. C: *ἐμμανὴς τὸ πλεῖστον γιγνόμενος τοῦ βίου*); *πλεῖστα* (Hipp. mai. 281. B.) et *τὰ πλεῖστα* (Critia 118. C.).

πλείων (et *πλέων*), *ὁ ἡ*, *maior; longior.* Tim. 54. B: *διότι δέ, ὁ λόγος πλείων.* Apol. 40. E: *οὐδὲν πλείων ὁ πᾶς χρόνος* cet. Phaedr. 231. D: *ὥστε πολὺ πλείων ἐλπὶς* cet. Pol. IV. 435. D: *μακροτέρα καὶ πλείων ὁδὸς ἡ ἐπὶ τοῦτο ἄγουσα.* Legg. VIII. 830. B: *ἀπορία πλείων.* Parm. 154. D: *ἆρα τῷ ἴσῳ μορίῳ διοίσει τὸ πλέον τοῦ ἐλάττονος ἢ σμικροτέρῳ;* Critia 114. E: *τότε ... πλέον ὀνόματος ἦν τὸ γένος* cet. Lach. 190. C: *πλέον γὰρ ἴσως ἔργον.* Tim. 75. C: *τοῦ πλείονος βίου.* Legg. VII. 807. C: *διπλασίας τε καὶ ἔτι πολλῷ πλέονος ἀσχολίας ἐστὶ γέμων ὁ ... βίος.* Hipp. mai. 303. C: *ἵνα καὶ ἀπαλλαγῶμεν πλείονος ζητήσεως.* Legg. XI. 921. B: *μὴ πλέονος τιμᾶν διαπειρώμενον.* Ep. XIII. 361. E: *οὐδὲν αὖ πλείονος ἢ δέκα μνῶν δέοι ἂν* cet. Theaet. 196. B: *ἐν πλείονι ἀριθμῷ.* Parm. 154. D: *πλειόνι καὶ ἐλάττονι χρόνῳ.* Soph. 250. E: *ἐν πλείονι (ἀπορίᾳ) φαινόμεθα.* Pol. II. 358. E: *πλέονι ... κακῷ ὑπερβάλλειν τὸ ἀδικεῖσθαι* cet. IX. 588. A: *ἀμηχάνῳ ... ὅσῳ πλέονι νικήσει εὐσχημοσύνῃ τε βίου* cet. Legg. VI. 762. D: *πλείονι τῶν νέων ζημιούσθω.* Parm. 154. C: *πλείω που χρόνον γέγονεν ἢ τἄλλα.* Pol. VII. 536. B: *φιλοσοφίας ἔτι πλείω γέλωτα καταντλήσομεν.* IX. 576. B: *ὅσῳ ἂν πλείω χρόνον ἐν τυραννίδι βιῷ.* Legg. XII. 946. A: (*ἐὰν*) *τὸν ἥμισυν ἀριθμὸν πλείω ποιῶσιν.* Pol. I. 330. B: *βραχεῖ γέ τινι πλείω (τὴν οὐσίαν) ἢ παρέλαβον.* VIII. 556. C: *οὐδὲν πλείω ἐπιμέλειαν πεποιημένους ἀρετῆς ἢ τοὺς πένητας.* Theaet. 161. B: *εἰ ἐγὼ δὲ οὐδὲν ἐπίσταμαι πλέον πλὴν βραχέος, ὅσον* cet. Soph. 244. B: *ὅσοι πλεῖον ἑνὸς λέγουσι τὸ πᾶν εἶναι.* Phil. 24. C: *τὸ πλέον καὶ τὸ ἔλαττον ἀπεργάζεσθον.* Pol. V. 466. C: *πλέον εἶναι ... ἥμισυ παντός.* Hipp. mai. 282. E: *πλέον ἢ εἴκοσι μνᾶς.* Alc. II. 148. C: *πλεῖον δ' οὐδεὶς ἂν ἐκείνων εὐξαμένων ἀκούσειε.* — Cum v. *εἶναι* est *plus valere* vel *efficere* et simpl. *prodesse.* Phaedr. 275. C: *πλέον τι οἰόμενος εἶναι λόγους γεγραμμένους τοῦ τὸν εἰδότα ὑπομνῆσαι* cet. Crat. 387. A: *πλέον τι ἡμῖν ἔσται.* Conv. 217. C: *οὐδὲν γάρ μοι πλέον ἦν* (germ. *es half mir nichts*). Pol. VI. 505. B. Legg. III. 697. D: *ἄν τι καὶ σμικρὸν πλέον ἑκάστοτε ἡγῶνται ἔσεσθαί σφισιν.* VI. 751. B. Alc. I. 106. A. al. Etiam cum v. *γίγνεσθαι.* Conv. 222. D: *μηδὲν πλέον αὐτῷ γένηται.* — Cum v. *ἔχειν*, *plus habere*, i. q. *πλεονεκτεῖν.* Gorg. 483. C. D. 488. B: *πλεῖον* (recentt. *πλέον*) *ἔχειν.* Pol. I. 343. D. 349. B. C. IX. 574. B. Cum v. *ποιεῖν*, *proficere.* Phaed. 115. C: *οὐδὲν πλέον ποιήσετε.* Theaet. 200. C: *οὐδὲν πλέον ποιοῦντες.* Crat. 387. C. 428. A. Legg. III. 689. B: *ὁπόταν καλοὶ ἐν ψυχῇ λόγοι ἐνόντες μηδὲν ποιῶσι πλέον.* Apol. 19. A: *πλέον τί με ποιῆσαι ἀπολογούμενον.* — Pol. VII. 540. D: *ἢ πλείους ἢ εἷς.* Legg. IX. 878. A: *παῖδες ... πλείους.* Soph. 245. B: *πλέονα ... τὰ πάντα ἑνὸς ἔσται.* Pol. II. 370. C: *ἐκ ... τούτων πλείω ... ἕκαστα γίγνεται* cet. IV. 438. B:

τὰ πλείω ... πρὸς τὰ ἐλάττω. Pol. II. 371. A: πλειόνων ... γεωργῶν ... δεῖ ἡμῖν τῇ πόλει. Phil. 46. D: ἐκ τῶν ἑτέρων πλειόνων. Pol. VI. 491. D: τοσούτῳ πλειόνων ἐνδεῖ τῶν πρεπόντων. Legg. XI. 932. C: δέκα πλείοσιν ἔτεσιν κολαζέσθων cet. Conv. 190. D: διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι. Pol. IV. 422. C. Phil. 45. D: μείζους ἡδονάς, οὐ πλείους λέγω. 65. D: πότερον ἡδονὴ ἢ φρόνησις πλείω (int. μετριότητος) κέκτηται. Conv. 199. E: ἀπόκριναι ὀλίγῳ πλείω. Apol. 17. D: ἔτη γεγονὼς πλείω ἑβδομήκοντα. Hipp. mai. 282. E: πλείω χρήματα εἰργάσθαι ἢ cet. — Adverbiorum instar frequentatur πλέον vel πλεῖον, *plus*, *amplius*, *ulterius*. Soph. 258. C: πλεῖον ἢ 'κεῖνος ἀπεῖπε σκοπεῖν ἡμεῖς εἰς τὸ πρόσθεν ἔτι ζητήσαντες ἀπεδείξαμεν αὐτῷ. Polit. 262. C. Conv. 175. E: ἐν μάρτυσι τῶν Ἑλλήνων πλέον ἢ τρισμυρίοις. Legg. VI. 766. C: πλεῖον ἢ τριάκοντα ἐπιδεομένην (τὴν ἀρχὴν) ἡμερῶν. Men. 91. E: πλέον ἢ τετταράκοντα ἔτη. Euthyd. 300. D: ἐγένετο πλεῖον (v. πλείων) ἢ δεκαπλάσιος. — De dict. ἐπὶ πλέον vid. I. p. 768. Cum v. εἶναι et δύνασθαι est *plus valere* vel *latius patere*. Euthyd. 290. B: οὐδεμία ... τῆς θηρευτικῆς αὐτῆς ἐπὶ πλέον ἐστίν, ἢ ὅσον θηρεῦσαι (*nulla — ipsa venandi arte latius patet*, sc. *quam ut venetur*). Gorg. 453. A: ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι ἢ —; Polit. 305. B: ἆρ' οὖν ἐπὶ πλέον τι δύναται τοῦ περὶ τὰ ξυμβόλαια ... κρίνειν —; Euth. 12. C: ἐπὶ πλέον γὰρ ... δέος αἰδοῦς. — Similiter πλείω usurpatur. Phil. 45. C: εἰ πλείω χαίρουσιν οἱ σφόδρα νοσοῦντες τῶν ὑγιαινόντων. Pol. III. 417. B: πολὺ πλείω καὶ μᾶλλον δεδιότες τοὺς ἔνδον ἢ τοὺς ἔξωθεν πολεμίους. Menex. 235. B: παραμένει ἡμέρας πλείω ἢ τρεῖς. Ep. VI. 323. A: πεπειραμένος Ἐράστου ... πλέονα ἢ σύ. Cum art. est *saepius*. Alc. II. 144. D: ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτά. 146. B: βλάπτεσθαι τὰ πλείω μᾶλλον ἢ ὠφελεῖσθαι. E. Clit. 409. D: συνέβαινε γὰρ αὐτῷ τὰ πλείω τὰς τοιαύτας βλαβεράς, ἢ ἀγαθὰς εἶναι.

πλεκτή, ἡ, *rete*. Legg. VII. 824: νυκτερευτὴν ... πλεκταῖς (v. πλέκταις) πιστόν.

πλεκτικός, ή, όν, *textorius*, fem. *ars texendi* vel *contexendi*. Polit. 288. D: τεκτονικῇ καὶ πλεκτικῇ. 283. B: πλεκτικὴν εἶναι κρόκης καὶ στήμονος ὑφαντικήν. Legg. III. 679. A: αἱ πλαστικαὶ ... καὶ ὅσαι πλεκτικαὶ τῶν τεχνῶν cet. Epin. 975. C: τῶν τεκτονικῶν ... καὶ πλεκτικῶν ... ὀργάνων παρασκευή.

πλέκω, *texo*, *contexo*; *implico*; in univ. *compono*. Hipp. min. 369. B: ἀεὶ σύ τινας τοιούτους πλέκεις λόγους. Conv. 203. D: ἀεί τινας πλέκων μηχανάς. Hipp. min. 368. C: ταύτην (τὴν ζώνην) ... αὐτὸς πλέξαι. Tim. 77. E: δι' ἀλλήλων ἐναντίας πλέξαντες. Pol. III. 400. A: ἐξ ὧν αἱ βάσεις πλέκονται. Parm. 129. E: τὴν αὐτὴν ταύτην ἀπορίαν ἐν

αὐτοῖς τοῖς εἴδεσι παντοδαπῶς πλεκομένην. Theaet. 202. B: ὥσπερ αὐτὰ πέπλεκται. Soph. 240. C: κινδυνεύει τοιαύτην τινὰ πεπλέχθαι συμπλοκὴν τὸ μὴ ὂν τῷ ὄντι. Tim. 79. D. Polit. 283. A: τὸ ... πλεχθὲν ξύμπαν ἐσθῆτα ἐρεᾶν (προσαγορεύομεν).

πλέξις, ἡ, *textura*. Polit. 308. D: ὅσα πρὸς τὴν πλέξιν αὐτῆς (τ. ὑφαντικῆς).

πλέον vid. πλείων.

πλεονάζω, *abundo*. Locr. 102. B: αἴ κα πλεονάζοιεν ἢ ἐλλείποιεν ταὶ ἁπλαὶ δυνάμιες. 103. A: τὸ ... πλεονάζειν ἐν ταύταις cet.

πλεονάκις, *pluries, saepius*. Phaed. 112. D: ἢ ἅπαξ ἢ καὶ πλεονάκις περιελιχθέντα περὶ τὴν γῆν. Theaet. 148. A: (ὃς ἀριθμὸς) ἢ πλείων ἐλαττονάκις ἢ ἐλάττων πλεονάκις γίγνεται. Parm. 147. D. Pol. III. 409. D: πλεονάκις ... πονηροῖς ἢ χρηστοῖς ἐντυγχάνων. Legg. IV. 706. B. Ep. VII. 345. A.

πλεοναχῇ, *plures* vel *varias in partes*. Pol. V. 477. A: κἂν εἰ πλεοναχῇ σκοποῖμεν.

πλεονέκτημα, τό, *lucrum*. Legg. IV. 709. C: καιρῷ ... χειμῶνος ξυλλαβέσθαι κυβερνητικὴν ἢ μή, μέγα πλεονέκτημα ἔγωγ' ἂν θείην.

πλεονεκτικῶς, *ita ut commodis meis serviam*. Phaed. 91. B: λογίζομαι γὰρ ... καὶ θέασαι ὡς πλεονεκτικῶς.

πλεονεκτῶ, *plus habeo* et *habere cupio*; *plus arrogo* vel *appeto*; etiam *lucro aliquem praeverto* (germ. *übervortheilen*). Gorg. 491. A: περὶ τίνων ὁ κρείττων ... πλέον ἔχων δικαίως πλεονεκτεῖ. Pol. I. 349. C. Euth. 15. A: ἢ τοσοῦτον αὐτῶν πλεονεκτοῦμεν κατὰ τὴν ἐμπορίαν ὥστε —; Gorg. 483. C: ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν. 490. E: τοῦτον ... ἴσως δεῖ πλεονεκτεῖν τῶν σπερμάτων. Conv. 218. E: οὐκ ὀλίγῳ μου πλεονεκτεῖν διανοεῖ. Pol. I. 344. A: λέγω ... τὸν μεγάλα δυνάμενον πλεονεκτεῖν. 349. B: τοῦ ... ἀδίκου πότερον ἀξιοῖ ἂν πλεονεκτεῖν —; II. 362. B: πλεονεκτεῖν τῶν ἐχθρῶν. II. 365. D: τὰ δὲ βιασόμεθα ὡς πλεονεκτοῦντες δίκην μὴ διδόναι. Legg. X. 906. C: πλεονεκτοῦσι. Pol. I. 350. A: ὁ ἀνεπιστήμων οὐχὶ ὁμοίως μὲν ἐπιστήμονος πλεονεκτήσειεν ἄν, ὁμοίως δὲ ἀνεπιστήμονος; 349. C: οὐκοῦν καὶ ἀδίκου ἀνθρώπου τε καὶ πράξεως ὁ ἄδικος πλεονεκτήσει —; Gorg. 490. C: οὐ πλεονεκτητέον. Etiam *maiorem auctoritatem arrogo*. Legg. III. 691. A: ὡς πρῶτον τοῦτο οἱ τότε βασιλεῖς ἔσχον τὸ πλεονεκτεῖν τῶν τεθέντων νόμων. **lucror, proficio*. Legg. III. 683. A: νῦν οὖν τοσόνδε πλεονεκτοῦμεν τῇ πλάνῃ τοῦ λόγου cet. Lach. 192. E: εἰδὼς ὅτι ἀναλώσας πλεονεκτήσεται. **supero, praesto*. Parm. 149. B: τῷ ἴσῳ τούτῳ καὶ ὁ ἔπειτα ἀριθμὸς πᾶς πασῶν τῶν ἅψεων πλεονεκτεῖ. Lach. 182. B: πανταχῇ ἂν ταύτῃ πλεονεκτοῖ. 183. A: πλεονεκτοῖεν τῶν ἄλλων περὶ τὸν πόλεμον. Legg.

VII. 802. D: ὥστε ... τό γε τῆς ἡδονῆς ἢ ἀηδίας περὶ ἑκατέρας οὐδὲν πεπλεονέκτηκεν. Parm. 149. B: ὡ ... τὰ πρῶτα δύο ἐπλεονέκτησε τῶν ἅψεων εἰς τὸ πλείω εἶναι τὸν ἀριθμὸν ἢ τὰς ἅψεις.

πλεονεξία, ἡ, *abundantia*. Tim. 82. A: τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια. **plus habendi* vel *lucri cupiditas*; etiam *potentiae aviditas* et in univ. *incontinentia*. Conv. 188. B: ἐκ πλεονεξίας καὶ ἀκοσμίας περὶ ἄλληλα τῶν τοιούτων γίγνεται ἐρωτικῶν. Pol. IX. 586. B. Critia 121. B: πλεονεξίας ἀδίκου καὶ δυνάμεως ἐμπιπλάμενοι. Conv. 182. C: τῶν ... ἀρχόντων πλεονεξία. Gorg. 508. A: σὺ δὲ πλεονεξίαν οἴει δεῖν ἀσκεῖν. Pol. II. 359. C: διὰ τὴν πλεονεξίαν. Legg. X. 906. C. III. 677. B: τῶν ἐν τοῖς ἄστεσι πρὸς ἀλλήλους μηχανῶν εἴς τε πλεονεξίας καὶ φιλονεικίας.

πλεύμων, ὁ, *pulmo*. Tim. 84. D: ὁ τῶν πνευμάτων τῷ σώματι ταμίας ὁ πλεύμων (v. πνεύμων). 70. C: τὴν τοῦ πλεύμονος (sic Par. A. c. al. Vulg. πνεύμονος) ἰδέαν ἐνεφύτευσαν. 79. C. 91. A. 70. D: ἐπὶ τὸν πλεύμονα (v. πνεύμονα) ἔτεμον. 78. C. **pulmo marinus*. Phil. 21. C: ζῆν δὲ οὐκ ἀνθρώπου βίον, ἀλλά τινος πλεύμονος.

πλευρά, ἡ, *latus*. Theaet. 148. A: μείζων ... καὶ ἐλάττων ἀεὶ πλευρὰ αὐτὸν περιλαμβάνει. Men. 82. C. Pol. III. 388. A: ἐπὶ πλευρᾶς κατακείμενον (ad Hom.). Tim. 36. C: κατὰ πλευρὰν ἐπὶ δεξιὰ περιήγαγε. 61. E: τὴν ... λεπτότητα τῶν πλευρῶν καὶ γωνιῶν. Legg. VII. 796. A. Tim. 53. D: γωνίας ὀρθῆς πλευραῖς ἴσαις διῃρημένης. Conv. 189. E: νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον. Tim. 54. C: ἐξ ἑνὸς (τριγώνου) τοῦ τὰς πλευρὰς ἀνίσους ἔχοντος. 57. A. Sis. 388. E: πρὸς τὰς πλευρὰς τῶν χωρίων. Locr. 98. C.

πλέω, *navigo*. Pol. I. 341. D: ὅτι πλεῖ ἐν τῇ νηΐ. Legg. VII. 813. D: πάντα ἡμῖν κατ' ὀρθὸν πλεῖ. Gorg. 467. D: πλέουσι. Alc. I. 117. C: εἰ ἐν νηῒ πλέοις. Gorg. 468. A: τρέχειν καὶ πλεῖν. Pol. I. 346. A: σωτηρίαν ἐν τῷ πλεῖν. B: πλεῖν ἐν τῇ θαλάττῃ. Critia 113. E: πλοῖα γὰρ καὶ τὸ πλεῖν οὔπω τότ' ἦν. Alc. II. 146. E: τὸν ἀσφαλῶς μέλλοντα πλεῖν. Legg. VI. 758. A: ναῦς ... ἐν θαλάττῃ πλέουσα. Gorg. 467. D: οἱ πλέοντες. Pol. I. 332. E: μὴ πλέουσι. Legg. VII. 790. C: οἷον ἀεὶ πλέοντας. Menex. 243. A: ἔπλευσαν εἰς ἐκείνους τοὺς τόπους. Ep. III. 316. E: πλεῦσαι ... οἴκαδε ἐμέ. C. Menex. 240. B: πλεύσας εἰς Ἐρέτριαν ἐπ' ἄνδρας cet. E: οἱ εἰς Αἴγυπτον πλεύσαντες.

πλέως, α, ων, *plenus*. Pol. III. 391. C: ὡς Ἀχιλλεὺς ... τοσαύτης ἦν ταραχῆς πλέως ὥστ' cet. VI. 486. C: λήθης ὢν πλέως. Ion. 539. A: πλείη (Hom.). Epin. 991. D: τὸ θεῶν εἶναι πάντα πλέα.

ῥῶ, τό. Crat. 426. C: *τὸ ῥῶ ἔμοιγε φαίνεται ὥσπερ ὄργανον εἶναι πάσης τῆς κινήσεως.* D. 434. D: *ὅτι τὸ ῥῶ τῇ φορᾷ καὶ κινήσει καὶ σκληρότητι προσέοικεν.* 426. E: *πάντα ταῦτα τὸ πολὺ ἀπεικάζει διὰ τοῦ ῥῶ.*

ῥάβδος, ἡ, virga. Legg. III. 700. C: *ῥάβδου κοσμούσης ἡ νουθέτησις ἐγίγνετο.* Ax. 367. A: *γυμνασιαρχία καὶ ῥάβδοι.* Soph. 221. A: *ἄνω ῥάβδοις καὶ καλάμοις ἀνασπώμενον.*

ῥαβδοῦχος, ὁ, ludorum praeses. Prot. 338. A: *ῥαβδοῦχον ... ἑλέσθαι.*

ῥάδιος, α, ον, facilis. Critia 114. D: *ὅσος (πλοῦτος) ... οὔτε ποτὲ ὕστερον γενέσθαι ῥᾴδιος.* Pol. I. 328. E: *ῥᾳδία καὶ εὔπορος (ὁδός).* Phaedr. 250. A: *ἀναμιμνήσκεσθαι ... ἐκεῖνα οὐ ῥᾴδιον ἁπάσῃ (ψυχῇ).* Theaet. 199. E: *οὐ ῥᾴδιόν γε ... μὴ ἐπαινεῖν σε.* Pol. I. 331. E: *Σιμωνίδῃ γε οὐ ῥᾴδιον ἀπιστεῖν.* II. 365. C. Phil. 23. B: *οὐδὲ ῥᾳδίου*

(*λόγου*) *πάνυ τι νῦν.* Prot. 328. A: *οὐ ῥάδιον ... εἶναι ... τούτων διδάσκαλον φανῆναι.* Legg. III. 685. A: *οὐ πάνυ ῥάδιον ἐρωτᾷς.* Phaedr. 272. B: *εἴ τις ... ῥᾴων καὶ βραχυτέρα φαίνεται ἐπ' αὐτὴν ὁδός.* Pol. II. 368. E: *ῥᾴων καταμαθεῖν* (*δικαιοσύνη*). Soph. 216. C: *οὐ πολύ τι ῥᾷον ... εἶναι διακρίνειν* (*κινδυνεύει*). Pol. I. 336. C: *ὅτι ῥᾷον ἐρωτᾶν ἢ ἀποκρίνεσθαι.* II. 370. A. IX. 588. D: *ταῦτα ... ῥᾴω.* Legg. IV. 708. C: *ταῦτ' οὖν πάντ' ἐστὶ τῇ μὲν ῥᾴω κατοικίζεσθαι* cet. Polit. 292. E: *ῥάστη μέντ' ἂν οὕτω γ' εἴη πασῶν τῶν τεχνῶν.* Phaedr. 229. A: *ῥᾷστον οὖν ἡμῖν κατὰ τὸ ὑδάτιον ... ἰέναι.* Soph. 218. C: *οὐ πάντων ῥᾷστον συλλαβεῖν τί ποτ' ἐστίν.* 244. C. Conv. 201. E. Pol. VI. 497. D: *ἐπεὶ καὶ τὸ λοιπὸν οὐ πάντως ῥᾷστον διελθεῖν.* Legg. IV. 712. A: *πάντων τάχιστόν τε καὶ ῥᾷστον μακρῷ.* Polit. 302. C: *χαλεπὴν ... ἅμα καὶ ῥάστην γίγνεσθαι* (*τριῶν οὐσῶν*, int. *τῶν πολιτειῶν*). Legg. VIII. 839. B. Menex. 249. C: *ῥᾷστοι θεραπεύειν τε καὶ θεραπεύεσθαι.* Polit. 277. E: *ἐν ταῖς βραχυτάταις καὶ ῥάσταις τῶν συλλαβῶν.*

ῥαδίως, *facile, nullo negotio; aequo animo;* etiam *sine ulla dubitatione, temere* (germ. *ohne weiteres, ohne sich zu bedenken*). Phaedr. 275. B: *ῥαδίως σὺ Αἰγυπτίους ... λόγους ποιεῖς.* Gorg. 522. E: *εὖ οἶδα ὅτι ῥαδίως ἴδοις ἄν με φέροντα τὸν θάνατον.* Phaed. 62. C: *τὸ τοὺς φιλοσόφους ῥαδίως ἂν ἐθέλειν ἀποθνήσκειν.* 63. A: *ὅτι οὕτω ῥαδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων* cet. Theaet. 206. E: *μὴ ... ῥαδίως καταγιγνώσκωμεν τὸ μηδὲν εἰρηκέναι* cet. Pol. I. 321. C: *τοῦ ῥαδίως πορεύεσθαι πρὸς τὸ ἄστυ.* 329. E: *ῥαδίως τὸ γῆρας φέρειν.* II. 377. B: *ἆρ' οὖν ῥαδίως οὕτω παρήσομεν* cet. 378. B: *ῥαδίως οὕτω λέγεσθαι.* III. 390. B: *τούτων πάντων ῥαδίως ἐπιλανθανόμενον* cet. Critia 120. E: *ῥαδίως ἔφερον οἷον ἄχθος τὸν τοῦ χρυσοῦ ... ὄγκον.* Legg. III. 690. D: *πρός τινα παίζοντες τῶν ἐπὶ νόμων θέσιν ἰόντων ῥαδίως.* VII. 799. D. XI. 917. B: *θεῶν ὀνόματα μὴ χραίνειν ῥαδίως* (i. q. vern. *leichtsinnig*). Apol. 24. C: *ῥαδίως εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους.* Charm. 172. D: *ὅτι ... ῥαδίως ὡμολογήσαμεν* cet. Men. 94. E: *ῥαδίως μοι δοκεῖς κακῶς λέγειν ἀνθρώπους.*

ῥαθυμία, ἡ, *socordia; temeritas.* Phaed. 99. B: *πολλὴ ἂν καὶ μακρὰ ῥαθυμία εἴη τοῦ λόγου.* Legg. X. 901. E: *ῥαθυμία δὲ ἀργίας καὶ τρυφῆς* (*ἔκγονος*). Def. 413. A: *ῥαστώνη ψυχῆς.* Legg. VI. 779. A: *ἐκ ῥαθυμίας.* X. 901. C: *ῥαθυμίᾳ καὶ τρυφῇ.* E: *ἀργίᾳ ... καὶ ῥαθυμίᾳ.* Pol. VI. 504. C: *καὶ μάλ' ... συχνοὶ πάσχουσιν αὐτὸ διὰ ῥαθυμίαν.* Clit. 407. C: *διὰ ταύτην τὴν πλημμέλειαν καὶ ῥαθυμίαν.* Ep. III. 317. D.

ῥάθυμος, ὁ ἡ, *inconsideratus, levis.* Theaet. 166. A: *ὦ ῥαθυμότατε Σώκρατες.* Crit. 45. D: *σὺ δ' ἐμοὶ δοκεῖς τὰ ῥαθυμότατα αἱρεῖσθαι.*

ῥᾳθυμῶ, *segnitor ago.* Legg. X. 903. B: δειλόν τινα διὰ πόνους ῥᾳθυμοῦντα.

ῥᾳθύμως, *segniter, negligenter; inconsiderate;* etiam *aequo animo.* Pol. VIII. 549. D: ῥᾳθύμως πάντα τὰ τοιαῦτα φέροντα. Legg. II. 659. B: ἀποφαίνεσθαι ῥᾳθύμως τὴν κρίσιν. VII. 807. A: ἀργῷ καὶ ῥᾳθύμως κατεπεπιασμένῳ ζώῳ. IX. 879. C: ἔοικε ... νέῳ παντὶ ὑπὸ γέροντος πληγέντι ῥᾳθύμως ὀργὴν ὑποφέρειν.

ῥᾳΐζω, *melius me habeo, revalesco.* Pol. V. 462. D: ῥᾳΐζοντος (oppos. πονοῦντος μέρους). Ax. 364. C: ῥᾳΐσει.

ῥάξ, ἡ, *acinus.* Legg. VIII. 845. A: κατὰ ῥᾶγα βοτρύων.

ῥᾷον, *facilius.* Gorg. 517. D: ἵνα ῥᾷον καταμάθῃς. Phaed. 70. D: εἰ βούλει ῥᾷον μαθεῖν. Pol. II. 370. C: καὶ κάλλιον καὶ ῥᾷον (γίγνεται). VI. 510. C. al.

ῥᾷστα, *facillime; commodissime;* etiam *aequissimo animo.* Phaedr. 230. E: ἐν ὁποίῳ σχήματι οἴει ῥᾷστα ἀναγνώσεσθαι. Soph. 260. B: ἀλλ' ἴσως τῇδ' ἑπόμενος ῥᾷστ' ἂν μάθοις. Conv. 176. A: τίνα τρόπον ῥᾷστα πιόμεθα; B: τίνι τρόπῳ ἂν ὡς ῥᾷστα πίνοιμεν. Pol. I. 344. A: πάντων ... ῥᾷστα μαθήσει ἐὰν cet. VII. 516. A. X. 603. E: ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων. Tim. 19. D: ὡς ... ταῦτα μιμήσεται ῥᾷστα καὶ ἄριστα. Legg. III. 676. A: μῶν οὐκ ἐνθένδε τις ἂν αὐτὴν ῥᾷστά τε καὶ κάλλιστα κατίδοι; IV. 710. D. Menex. 247. C: ὡς ῥᾷστα φέρειν τὴν ξυμφοράν.

ῥᾳστώνη, ἡ, *facilitas; commoditas;* etiam *levatio* (germ. *Erleichterung* et *Erholung*) et *quies.* Gorg. 459. C: οὐκοῦν πολλὴ ῥᾳστώνη ... γίγνεται, μὴ μαθόντας τὰς ἄλλας τέχνας ... μηδὲν ἐλαττοῦσθαι τῶν δημιουργῶν; Legg. IV. 711. A: ῥᾳστώνη τῆς μεταβολῆς γίγνεσθαι φιλεῖ. X. 903. E: ῥᾳστώνη ἐπιμελείας θεοῖς τῶν πάντων. Epin. 983. B. Polit. VII. 525. C: (ἕνεκα) αὐτῆς τῆς ψυχῆς ῥᾳστώνης μεταστροφῆς ἀπὸ γενέσεως ἐπ' ἀλήθειαν cet. Critia 107. B: ῥᾳστώνης τε πέρι καὶ χαλεπότητος. Legg. I. 625. B: μετὰ ῥᾳστώνης (Cf. Ep. VII. 325. D.). 648. C. IV. 713. D: διὰ πολλῆς ... αὐτοῖς ῥᾳστώνης. VI. 779. A: ἐκ ῥᾳστώνης (*ex otio*) ... τῆς αἰσχρᾶς. Epin. 991. C: ῥᾳστώνῃ (*facile*) παραλαβεῖν. Polit. 310. C: τὴν ἐν τῷ παραχρῆμα διώκοντες ῥᾳστώνην. Conv. 176. B: τὸ παντὶ τρόπῳ παρασκευάσασθαι ῥᾳστώνην τινὰ τῆς πόσεως. Pol. V. 460. D: πολλὴν ῥᾳστώνην ... λέγεις τῆς παιδοποιίας ταῖς τῶν φυλάκων γυναιξί. Tim. 70. C: (ἵνα) ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι. Legg. III. 684. D: οὐ σμικρὸν εἰς ῥᾳστώνην τῆς θέσεως τῶν νόμων. IV. 720. C: ῥᾳστώνην οὕτω τῷ δεσπότῃ παρασκευάζει τῶν καμνόντων τῆς ἐπιμελείας. VI. 779. A: ἀγνοοῦντας ... τὴν ῥᾳστώνην (*quietem*) ὡς ὄντως ἐστὶν ἐκ τῶν πόνων. D: εἰς ... τὴν τῆς φυλακῆς ῥᾳστώνην. X. 902. C: πρὸς ῥᾳστώνην καὶ χαλεπότητα.

ῥαφή, ἡ, *sutura*. Polit. 280. C: τὴν τρήσει καὶ ῥαφῇ χρωμένην σύνθεσιν. Tim. 76. A: τὸ ... τῶν ῥαφῶν παντοδαπὸν εἶδος. Ib. ἡ ... νοτὶς ὑπὸ τὰς ῥαφὰς ἀνιοῦσα.

ῥάχις, ἡ, *spina* (dorsi). Tim. 91. A: διὰ τῆς ῥάχεως. 77. D: ταύτας ... καθῆκαν παρὰ τὴν ῥάχιν.

ῥαψῳδία, ἡ, *carminum* (praec. epicorum) *pronuntiatio*. Tim. 21. B: ἆθλα ... ἡμῖν οἱ πατέρες ἔθεσαν ῥαψῳδίας. Ion. 533. B: οὐδὲ ἐν ῥαψῳδίᾳ. Etiam *carmen epicum* s. *rhapsodia*. Legg. II. 658. B: τὸν μέν τινα ἐπιδεικνύναι, καθάπερ Ὅμηρος, ῥαψῳδίαν, ἄλλον δὲ κιθαρῳδίαν cet.

ῥαψῳδικός, ἡ, όν, *carminum recitatoris proprius*, fem. abs. et cum v. τέχνη *carminum recitandorum ars*. Ion. 538. B: ἡ ... ῥαψῳδικὴ τέχνη ἑτέρα ἐστὶ τῆς ἡνιοχικῆς; 540. A: ἡ ῥαψῳδική. D: ἡ ῥαψῳδικὴ τέχνη. 538. C: ῥαψῳδικῆς. 539. E: τῆς τέχνης τῆς ῥαψῳδικῆς. 540. A: τὴν ῥαψῳδικὴν τέχνην. 541. A: τὴν ῥαψῳδικήν.

ῥαψῳδός, ὁ, *qui carmina* (praec. epica vel Homeri) *memoriter pronuntiat*. Ion. 530. C: οὐ γὰρ ἂν γένοιτό ποτε ῥαψῳδός, εἰ μὴ συνείη τὰ λεγόμενα ὑπὸ τοῦ ποιητοῦ. 535. D. 540. C. 533. C: τοῦ Ἰθακησίου ῥαψῳδοῦ. 539. E: τῷ ῥαψῳδῷ. Legg. II. 658. D: ῥαψῳδόν. Ion. 530. C: τὸν ... ῥαψῳδὸν ἑρμηνέα δεῖ τοῦ ποιητοῦ τῆς διανοίας γίγνεσθαι τοῖς ἀκούουσι. Pol. II. 373. B: ποιηταί τε καὶ τούτων ὑπηρέται, ῥαψῳδοί cet. III. 395. A. Ion. 532. D: ἀλλὰ σοφοὶ μέν πού ἐστε ὑμεῖς οἱ ῥαψῳδοὶ cet. 535. A. Legg. VI. 764. D: οἷον ῥαψῳδῶν καὶ κιθαρῳδῶν cet. VIII. 834. E. Ion. 530. A: ῥαψῳδῶν ἀγῶνα. Eryx. 403. D: ὥσπερ τῶν ῥαψῳδῶν οἳ τὰ Ὁμήρου ἔπη ᾄδουσιν. De lucri cup. 228. B: τοὺς ῥαψῳδούς.

ῥαψῳδῶ, *carmina* (praec. epica) *continua pronuntio* vel *recito* (quod nos dicimus *declamiren*, vid. in Phaedr. p. 608 sq.). Ion. 541. B: τί δή ποτ᾽ οὖν ... ῥαψῳδεῖς μὲν περιιὼν τοῖς Ἕλλησι —; 633. C: ἅ τε εὖ ῥαψῳδεῖ καὶ ἃ μή. Pol. X. 600. D: Ὅμηρον ... ἢ Ἡσίοδον ῥαψῳδεῖν ἂν περιιόντας εἴων. Phaedr. 277. E: ὡς οἱ ῥαψῳδούμενοι (λόγοι) ... πειθοῦς ἕνεκα ἐλέχθησαν (quae ex interpretatione videntur fluxisse).

ῥέζω, *facio*. Legg. I. 642. C: ὡς ἡ πόλις ὑμῶν ... ἡμᾶς οὐ καλῶς ἢ καλῶς ἔρρεξε. Homerica sunt ἔρεξε (Conv. 220. C.) et ῥέξας (Hipp. min. 370. B.).

ῥέθη, τά, *membra*, h. e. *corpus*. Pol. III. 386. D. (Hom.).

ῥέπω, *vergo*, *inclino*; etiam trop. *inclino*, *propensus sum*. Pol. VI. 485. D: ὅτῳ γε εἰς ἕν τι αἱ ἐπιθυμίαι σφόδρα ῥέπουσιν. Legg. IX. 862. C: τῇδε ῥέπειν. Phaedr. 247. B: ἐπὶ τὴν γῆν ῥέπων. Tim. 79. E: ἐκείνῃ ῥέπον. De iusto 373. E: τὸ ... κάτω ῥέπον ἐν τοῖς ζυγοῖς βαρύ. Legg. VII. 802. E: τὸ πρὸς τὴν ἀνδρείαν ῥέπον. Pol. VIII. 550. E: ὥσπερ ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου ἀεὶ τοὐναντίον ῥέποντε (v. εἰς τοὐναντίον ῥέποντος). Polit. 308. A: οἱ πρὸς τὴν ἀνδρείαν μᾶλλον ῥέποντες. Ep. VII. 328. B: ὅθεν

μοι σκοπουμένῳ ... ἔῤῥεψε δεῖν cet. Phil. 46. E: *εἰς ὁπότερ' ἂν ῥέψῃ.* Pol. VIII. 544. E: *ἃ* (v. *οἳ*) *ἂν ὥσπερ ῥέψαντα* (v. *ῥεύσαντα*) *τἆλλα ἐφελκύσηται.*

ῥεῦμα, τό, fluxio; (etiam *corporis affectio*, vern. *Fluss*); *flumen, fluvius.* Theaet. 144. B: *οἷον ἐλαίου ῥεῦμα ἀψοφητὶ ῥέοντος.* Soph. 163. E: *τὸ ... ἀπ' ἐκείνης* (τ. *ψυχῆς*) *ῥεῦμα διὰ τοῦ στόματος.* Pol. VI. 485. D: *ὥσπερ ῥεῦμα ἐκεῖσε ἀπωχετευμένον.* Tim. 21. E: *τὸ τοῦ Νείλου ῥεῦμα.* 23. A: *ῥεῦμα οὐράνιον.* 44. B: *τὸ τῆς αὔξης καὶ τροφῆς ... ῥεῦμα.* Def. 414. C: *φωνὴ ῥεῦμα διὰ στόματος ἀπὸ διανοίας.* Phaedr. 255. C: *ἡ τοῦ ῥεύματος ἐκείνου πηγή.* Crat. 440. D: *ὑπὸ ῥεύματός τε καὶ κατάῤῥου πάντα χρήματα ἔχεσθαι.* Tim. 45. C: *περὶ τὸ τῆς ὄψεως ῥεῦμα.* Critia 112. D: *ἄφθονον ῥεῦμα.* Theaet. 180. D: *Ὠκεανός τε καὶ Τηθὺς ῥεύματα.* Tim. 80. C: *τὰ τῶν ὑδάτων πάντα ῥεύματα.* Polit. 280. C: *ὅσαι ... ῥευμάτων στεκτικαὶ γίγνονται.* Pol. III. 405. D: *ῥευμάτων τε καὶ πνευμάτων ὥσπερ λίμνας ἐμπιπλαμένους.* Tim. 84. D: *ὑπὸ ῥευμάτων φραχθείς.* Legg. X. 892. D: *πολλῶν ἔμπειρος ῥευμάτων.* Phaed. 112. B: *εἰςρεῖν πάντα τὰ ῥεύματα.* Theaet. 160. D: *οἷον ῥεύματα κινεῖσθαι τὰ πάντα.* Tim. 79. A: *τὰ τῶν φλεβῶν ... ῥεύματα.* 88. A: *ῥεύματα ἐπάγουσα.* Legg. VIII. 844. C: *μεθιεὶς ... τὰ ῥεύματα.*

ῥευματίζομαι, fluxionibus tentor. Locr. 103. A: *ῥευματιζόμενά τινα μέρεα.*

ῥέω, fluo, mano; effundor; feror; etiam *mutor, diffluo.* Phaedr. 230. B: *ἡ ... πηγὴ ... ῥεῖ.* Theaet. 182. C: *κινεῖται καὶ ῥεῖ ... τὰ πάντα.* Crat. 440. C: (*ὡς*) *πάντα ὥσπερ κεράμια ῥεῖ.* Ax. 371. C: (*ἔνθα*) *πηγαὶ ... ὑδάτων καθαρῶν ῥέουσι.* Phaed. 87. D: *εἰ ... ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο ἔτι ζῶντος τοῦ ἀνθρώπου.* Crat. 411. C: *ῥεῖν καὶ φέρεσθαι* (*τὰ πράγματα*). 426. D: *ἐν αὐτῷ τῷ ῥεῖν καὶ ῥοῇ.* Phil. 62. E. Conv. 175. D. Tim. 75. E: *τὸ ... λόγων νᾶμα ἔξω ῥέον.* Theaet. 144. B: *ἐλαίου ... ῥέοντος.* Tim. 43. D: *ἐναντία αὐτῇ ῥέουσαι.* Crat. 439. C: *ὡς ἰόντων ἁπάντων ἀεὶ καὶ ῥεόντων.* 411. C: *ὡς φερομένοις τε καὶ ῥέουσι.* Theaet. 181. A: *τοὺς ῥέοντας* (*qui omnia fluere ponunt*). Legg. III. 682. C: *ποταμοὺς ... ἐκ τῶν ὑψηλῶν ῥέοντας.* Pol. VI. 485. D: *ᾧ ... πρὸς τὰ μαθήματα ... ἐῤῥυήκασι* (*αἱ ἐπιθυμίαι.* VIII. 544. E. pro *ῥεύσαντα* nunc scrib. *ῥέψαντα*). Tim. 84. C: *πάσης ἀνάπαλιν τῆς τοῦ σώματος φύσεως ... ῥυείσης.* Pol. VI. 495. B: *οἳ ἂν ταύτῃ τύχωσι ῥυέντες.*

ῥήγνυμι, rumpo, pass. *rumpor, discedo.* Pol. II. 359. D: *ῥαγῆναί τι τῆς γῆς.*

ῥηΐδιος, i. q. *ῥᾴδιος.* Prot. 340. D. Legg. IV. 719. A. (Hes.).

ῥῆμα, τό, dictum; dictio, propositio, sententia verbis expressa (germ. *Spruch, Ausspruch, Satz*). Prot. 341. E: *τὸ μετὰ τοῦτο*

ῥῆμα. 343. B: *καὶ τοῦ Πιττακοῦ ἰδίᾳ ἐφέρετο τοῦτο τὸ ῥῆμα* cet. Polit. 303. C. Pol. I. 336. A: *οὔ μοι δοκεῖ εἶναι τὸ ῥῆμα, τὸ φάναι* cet. VIII. 562. C: *λέγεται ... καὶ πολὺ τοῦτο τὸ ῥῆμα.* Legg. VIII. 838. B: *σμικρὸν ῥῆμα.* Crat. 399. C: *ἵνα ἀντὶ ῥήματος* (int. *Διὶ φίλος*) *ὄνομα* (*Δίφιλος*) *ἡμῖν γένηται.* Pol. V. 464. A: *μετὰ τούτου τοῦ δόγματός τε καὶ ῥήματος.* Legg. VII. 797. C. Soph. 265. C: *ἢ τῷ τῶν πολλῶν δόγματι καὶ ῥήματι χρώμενοι;* Prot. 342. E: *ἐνέβαλε ῥῆμα ἄξιον λόγου βραχύ.* Phaedr. 269. B: *ῥῆμά τι εἰπεῖν ἀπαίδευτον.* Theaet. 190. C. Pol. V. 463. E: *ὃ νῦν δὴ ἐλέγομεν τὸ ῥῆμα τὸ ὅτι τὸ ἐμὸν εὖ πράττει* cet. 473. E: *τοιοῦτον ἐκβέβληκας* (*ἐμβέβλ.?*) *ῥῆμά τε καὶ λόγον* cet. Legg. VIII. 839. B. Conv. 198. B: *τοῦ κάλλους τῶν ὀνομάτων καὶ ῥημάτων* (nos: *der Wörter u. Sätze*). Pol. X. 601. A: *τοῖς ὀνόμασι καὶ ῥήμασιν.* Legg. VIII. 840. C: *ἐν ῥήμασι καὶ ἐν μέλεσιν ᾄδοντες.* Apol. 17. B: *κεκαλλιεπημένους γε λόγους ... ῥήμασί τε καὶ ὀνόμασιν.* Prot. 342. E: *τοιαῦτα ... ῥήματα φθέγγεσθαι.* Conv. 221. E: *τοιαῦτα καὶ ὀνόματα καὶ ῥήματα ἔξωθεν περιαμπέχονται* cet. Pol. VI. 498. E. Legg. II. 669. C: *ῥήματα ἀνδρῶν ποιήσασαι.* De lucri cup. 228. E: (*ἵνα*) *τὰ Ἱππάρχου ῥήματα μᾶλλον σοφὰ ἡγοῖντο.* **verbum, vox* vel *vocabulum* (*Wort* vel *Ausdruck*). Legg. II. 656. C: *ῥήματος ἐχόμενον.* Euthyd. 305. A: (*οἳ*) *παντὸς ... ῥήματος ἀντέχονται.* Ep. III. 319. C. Gorg. 450. E: *οὐχ ὅτι τῷ ῥήματι* (vern. *wörtlich*) *οὕτως εἶπες.* 489. B: *ἐάν τις ῥήματι* (nos: *im Ausdrucke*) *ἁμάρτῃ.* Theaet. 166. D: *τὸν ... λόγον ... μὴ τῷ ῥήματί μου δίωκε.* Soph. 257. B: *τότε μᾶλλόν τί σοι φαινόμεθα τὸ σμικρὸν ἢ τὸ ἴσον δηλοῦν τῷ ῥήματι;* Crat. 421. B: *τούτῳ τῷ ῥήματι, τῇ ἀληθείᾳ.* Pol. I. 340. D: *λέγομεν τῷ ῥήματι οὕτως ὅτι* cet. Tim. 49. E: *τῷ ῥήματι τῷ τόδε καὶ τοῦτο προσχρώμενοι.* Lys. 220. B. Soph. 237. D: *τὸ τὶ ... ῥῆμα.* Legg. X. 906. C. I. 627. D: *εὐσχημοσύνης τε καὶ ἀσχημοσύνης ῥημάτων ἕνεκα.* II. 669. E: *μέλος ... καὶ ῥυθμὸν ἄνευ ῥημάτων.* De lucri cup. 225. C: *τῶν σοφῶν ῥημάτων.* Ion. 536. C. Phaed. 102. B: *οὐχ ὡς τοῖς ῥήμασι λέγεται, οὕτω καὶ τὸ ἀληθὲς ἔχειν.* Theaet. 165. A: *μὴ προσσχὼν τοῖς ῥήμασι τὸν νοῦν.* Legg. II. 660. A: *ἐν τοῖς καλοῖς ῥήμασι ... πείσει.* VI. 783. C: *ἃ τοῖς τρισὶ διωριζόμεθα ῥήμασι.* VII. 800. D. Phaedr. 228. D: *τά γε ῥήματα οὐκ ἐξέμαθον.* 271. C: *αὐτὰ ... τὰ ῥήματα εἰπεῖν οὐκ εὐπετές.* Theaet. 183. B: *ὡς ... πρὸς τὴν αὐτῶν ὑπόθεσιν οὐκ ἔχουσι ῥήματα.* Crat. 421. E. Pol. V. 462. C: *ὅταν μὴ ... φθέγγωνται ... τὰ τοιάδε ῥήματα, τό τε ἐμὸν καὶ τὸ οὐκ ἐμόν.* Hipp. mai. 292. C: *ἵνα μὴ πρὸς σὲ λέγω ῥήματα ... χαλεπά τε καὶ ἀλλόκοτα.* — Sensu grammatico est *verbum*, vern. *Zeitwort* (propr. declaratio eius quod de homine aliquo vel re praedicatur). Soph. 262. E: *συνθεὶς*

πρᾶγμα πράξει δι' ὀνόματος καὶ ῥήματος. A: τὸ ... ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα ῥῆμά που λέγομεν. Ib. τὰ μὲν ὀνόματα, τὸ δὲ ῥήματα κληθέν. Crat. 425. A: ἐξ ὧν τά τε ὀνόματα καὶ τὰ ῥήματα συντίθεται (v. συντίθενται). Theaet. 168. B: ἐκ συνηθείας (*ex usu*) ῥημάτων τε καὶ ὀνομάτων. 184. C. 206. D. Soph. 263. D. Ep. VII. 342. B: λόγος ... ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενος. 343. B. Crat. 431. B: εἰ ... ῥήματα καὶ ὀνόματα ἔστιν οὕτω τιθέναι cet.

ῥηματίσκιον, τό, *vocula*. Theaet. 180. A: ῥηματίσκια αἰνιγματώδη ... ἀποτοξεύουσι.

ῥῆσις, ἡ, *oratio, verba*. Gorg. 506. B: τὴν τοῦ Ἀμφίονος ῥῆσιν. Pol. III. 393. B: ὅταν γέ τινα λέγῃ ῥῆσιν ὥς τις ἄλλος ὤν. X. 605. D: μακρὰν ῥῆσιν ἀποτείνοντα ἐν τοῖς ὀδυρμοῖς. III. 393. B: τὰ μεταξὺ τῶν ῥήσεων. 394. B. Phaedr. 268. C: ὡς ἐπίσταται περὶ σμικροῦ πράγματος ῥήσεις παμμήκεις ποιεῖν. Pol. III. 393. B: ὅταν τὰς ῥήσεις ... λέγῃ. Legg. VII. 811. A: καί τινας ὅλας ῥήσεις εἰς ταὐτὸ ξυναγαγόντες ἐκμανθάνειν φασὶ δεῖν cet.

ῥητορεία, ἡ, *oratoria*. Polit. 303. E: ὅση ... ῥητορεία πείθουσα τὸ δίκαιον ξυνδιακυβερνᾷ τὰς ἐν ταῖς πόλεσι πράξεις.

ῥητορεύω, *oro*. Gorg. 502. D: ἢ οὐ ῥητορεύειν δοκοῦσί σοι οἱ ποιηταὶ ἐν τοῖς θεάτροις;

ῥητορικός, ή, όν, *rhetoricus, eloquens*; fem. *oratoria*, subst. *rhetor, orator*. Phaedr. 260. C: ὁ ῥητορικός. Gorg. 455. B. 456. C. Phaedr. 261. A: ἆρ' οὖν οὐ ... ἡ ῥητορικὴ ἂν εἴη τέχνη ψυχαγωγία τις διὰ λόγων —; 269. B: τί ποτ' ἐστὶ ῥητορική. Gorg. 449. D: ἡ ῥητορική. E. 502. D: οὐκοῦν ῥητορικὴ δημηγορία ἂν εἴη; Theaet. 177. B. Phaedr. 266. C: τὸ ... ῥητορικὸν δοκεῖ μοι διαφεύγειν ἔθ' ἡμᾶς. Polit. 304. E: τοῦτο μὲν ἔοικε ταχὺ κεχωρίσθαι πολιτικῆς τὸ ῥητορικόν, ὡς ἕτερον εἶδος ὄν. Phaedr. 239. A: ἀδύνατος εἰπεῖν ῥητορικοῦ (ἥττων). 266. D: τὸ λειπόμενον τῆς ῥητορικῆς. 270. B: τέχνης ῥητορικῆς. Gorg. 455. B: τί ποτε καὶ λέγομεν περὶ τῆς ῥητορικῆς. 449. B: ῥητορικῆς ... φῂς ἐπιστήμων τέχνης εἶναι. Menex. 235. E: διδάσκαλος ... περὶ ῥητορικῆς. 236. A. Gorg. 456. B: τῇ ῥητορικῇ. 461. A. Crat. 425. A: ῥητορικῇ. Phaedr. 269. D: εἰ μέν σοι ὑπάρχει φύσει ῥητορικῷ εἶναι. 235. A: τῷ ῥητορικῷ αὐτοῦ μόνῳ τὸν νοῦν προσεῖχον. 272. D: τὸν μέλλοντα ἱκανῶς ῥητορικὸν ἔσεσθαι. Gorg. 458. E: ῥητορικὸν φῂς ποιεῖν οἷός τ' εἶναι. 461. B: τὸν ῥητορικὸν ἄνδρα. Pol. VIII. 548. E. Phaedr. 260. C: τὴν ῥητορικήν. 269. B: διδάσκοντας ὡς ῥητορικὴν τέχνην. C: ῥητορικὴν δεδιδάχθαι. Gorg. 448. D: τὴν καλουμένην ῥητορικήν. 502. D: ῥητορικήν τινα πρὸς δῆμον τοιοῦτον οἷον παίδων cet. 455. C: οἱ ῥητορικοί. Alc. II. 145. E: ἀνδρῶν ῥητορικῶν πολιτικὸν φύσημα

φυσώντων. Gorg. 450. B: *τί οὖν δή ποτε τὰς ἄλλας τέχνας οὐ ῥητορικὰς καλεῖς —;*

ῥητορικῶς, more rhetorico s. *rhetorum.* Gorg. 471. E: *ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν.*

ῥητός, ή, όν, dictus, constitutus; unde *ἐπὶ ῥητοῖς conditione* vel *conditionibus.* Conv. 213. A: *ἐπὶ ῥητοῖς (ea quam dixi conditione) εἰςίω, ἢ μή;* Legg. VIII. 850. A: *ἰέναι ... τὸν βουλόμενον εἰς τὴν μετοίκησιν ἐπὶ ῥητοῖς (certis conditionibus).* * *quod verbis enuntiari* vel *oratione explicari potest.* Theaet. 205. E: *συλλαβὴν ... γνωστὸν καὶ ῥητόν.* D: *αἱ ... συλλαβαὶ γνωσταὶ καὶ ῥηταὶ καὶ τὰ στοιχεῖα.* 202. B: *τὰς ... συλλαβὰς γνωστάς τε καὶ ῥητὰς καὶ ἀληθεῖ δόξῃ δοξαστάς.* * *quod enuntiari* vel *in medium proferri potest.* Ep. VII. 341. C: *ῥητὸν ... οὐδαμῶς ἐστὶν ὡς τἄλλα μαθήματα.* E: *ῥητά.* Legg. VII. 817. D: *εἴτε ῥητὰ καὶ ἐπιτήδεια πεποιήκατε λέγειν εἰς τὸ μέσον εἴτε μή.* — Mathematicis dicuntur *ῥητὰ rationalia.* Pol. VIII. 546. C: *πάντα προςήγορα καὶ ῥητὰ πρὸς ἄλληλα ἀπέφηναν.* Hipp. mai. 303. B: *ἀῤῥήτων ἑκατέρων ὄντων τάχα μὲν ῥητὰ τὰ συναμφότερα εἶναι, τάχα δ' ἄῤῥητα.*

ῥήτωρ, ὁ, orator, et in univ. *qui de aliqua re disserit* vel *exponit; rhetor* (eloquentiae praeceptor). Phaedr. 258. B: *ὅταν ἱκανὸς γένηται ῥήτωρ ἢ βασιλεὺς ὥστε* cet. 269. D: *ἔσει ῥήτωρ ἐλλόγιμος.* Apol. 17. B. Conv. 215. D: *πάνυ ἀγαθοῦ ῥήτορος.* Pol. III. 396. E: *οἷόν γε ἀνάγκη τὸν τύπον εἶναι τοῦ τοιούτου ῥήτορος.* Apol. 18. A: *ῥήτορος (ἀρετὴ) ... τἀληθῆ λέγειν.* Alc. I. 114. C: *τοῦ ἐν τῷ δήμῳ ῥήτορος.* Phaedr. 260. A: *τῷ μέλλοντι ῥήτορι ἔσεσθαι.* Pol. VII. 536. C: *ἀλλ' ὡς ἐμοὶ ... ῥήτορι.* Legg. IV. 723. D. Gorg. 449. A: *ῥήτορα ἄρα χρή σε καλεῖν;* Prot. 329. A: *καὶ οἱ ῥήτορες οὕτω σμικρὰ ἐρωτηθέντες δολιχὸν κατατείνουσι τοῦ λόγου.* Theaet. 172. C: *γελοῖοι φαίνονται ῥήτορες.* Crat. 398. D: *ῥήτορες δεινοί.* Pol. I. 348. B: *ἅμα αὐτοί τε δικασταὶ καὶ ῥήτορες ἐσόμεθα.* Euthyd. 284. B: *οἱ ῥήτορες ὅταν λέγωσιν ἐν τῷ δήμῳ.* 305. B: *οἷς (λόγοις) οἱ ῥήτορες ἀγωνίζονται.* Conv. 215. E: *Περικλέους ... ἀκούων καὶ ἄλλων ἀγαθῶν ῥητόρων.* Legg. X. 885. D: *τῶν λεγομένων ἀρίστων εἶναι ποιητῶν τε καὶ ῥητόρων.* Apol. 24. A. Theaet. 167. C: *τοὺς ... σοφούς τε καὶ ἀγαθοὺς ῥήτορας ταῖς πόλεσι τὰ χρηστὰ ἀντὶ τῶν πονηρῶν δίκαια δοκεῖν εἶναι ποιεῖν.* 201. A: *οὓς δὴ καλοῦσι ῥήτοράς τε καὶ δικανικούς.* Menex. 235. C: *ἀεὶ σὺ προςπαίζεις ... τοὺς ῥήτορας.* Ax. 370. E: *ἵνα τι κἀγὼ μιμησάμενος τοὺς ῥήτορας περιττὸν εἴπω.*

ῥῖγος, τό, rigor, frigus. Tim. 62. B: *τρόμος καὶ ῥῖγος.* Phil. 32. A: *ῥίγους.* Euth. 4. D: *ὑπὸ ... λιμοῦ καὶ ῥίγους.*

ῥιγῶ, frigeo, algeo. Theaet. 152. B: *ἆρ' οὐκ ἐνίοτε πνέοντος ἀνέμου τοῦ αὐτοῦ ὁ μὲν ἡμῶν ῥιγοῖ —;* Phil. 45. B: *ῥιγοῦσι.* Gorg. 517. D: *ἐὰν δὲ ῥιγῷ (τὰ σώματα ἡμῶν).*

Phaed. 85. A: (ὅταν) ῥιγοῖ (sic libri omnes). Pol. IV. 440. C: διὰ τὸ ῥιγοῦν. Phil. 46. C: ῥιγῶν. Pol. IV. 440. C.

ῥίζα, *radix*. Tim. 81. C: ἡ ῥίζα τῶν τριγώνων. Locr. 97. E: ῥίζα πάντων καὶ βάσις τῶν ἄλλων. Phaedr. 251. B: ἀπὸ τῆς ῥίζης. Pol. VIII. 565. D: ἐκ προστατικῆς ῥίζης ... ἐκβλαστάνει. Tim. 90. B: τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν. Soph. 265. C: ὅσα ... ἐκ σπερμάτων καὶ ῥιζῶν φύεται. Tim. 84. B. Critia 115. B. Prot. 334. A: τοῦ δένδρου ταῖς ... ῥίζαις. Epin. 981. D: διειλημμένα ῥίζαις. Prot. 321. B: ῥίζας.

ῥιζῶ, pass. *radices ago* (trop., ut vern. *einwurzeln*). Ep. VII. 336. B: ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐῤῥίζωται καὶ βλαστάνει. Legg. VIII. 839. A: ῥιζωθέν.

ῥίπτω, *iacio, coniicio*; etiam *deiicio* vel *demitto*. Phaed. 113. E: τούτους ... ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον. Legg. VII. 795. C: βέλη ῥίπτειν. Ax. 368. C: αὐτὸν εἰς τὸ πέλαγος ἔῤῥιψεν. Pol. X. 617. E: ῥίψαι ἐπὶ πάντας τοὺς κλήρους. Phil. 16. B: ποθὲν ἐκ θεῶν ἐῤῥίφη διά τινος Προμηθέως. Legg. XII. 944. A: κατὰ κρημνῶν ῥιφέντες. **abiicio*. Legg. XII. 944. C: (ἐὰν) ῥίψῃ (τὰ ὅπλα). Pol. V. 473. E: οἷον ῥίψαντας τὰ ἱμάτια. Legg. XII. 944. D: ῥιφθέντων (ὅπλων).

ῥιπτῶ, *iacto*. Tim. 80. A: τῶν ῥιπτουμένων.

ῥίς, ἡ, *nasus*, plur. ut Lat. *nares*, h. e. *nasus*. Prot. 329. D: στόμα τε καὶ ῥίς cet. Tim. 78. C: κατὰ τοὺς ὀχετοὺς τῆς ῥινός. Theaet. 209. B: ὃς ὢν ... ἔχῃ ῥῖνα. Conv. 185. E. Prot. 334. C: διὰ τῶν ῥινῶν. Locr. 102. A: ταῖς ῥισίν. Conv. 193. A: διαπεπρισμένοι κατὰ τὰς ῥῖνας. Tim. 79. E: κατὰ τὸ στόμα καὶ τὰς ῥῖνας. Hipp. min. 374. D.

ῥίψασπις, ὁ, *qui scutum abiecit*. Legg. XII. 944. B. C. D: ἀνδρὶ ῥιψάσπιδι.

ῥῖψις, ἡ, *iaculatio*. Legg. VII. 813. D: τοξικῆς τε καὶ πάσης ῥίψεως. **deiectus*. Pol. II. 378. D: Ἡφαίστου ῥίψεις ὑπὸ πατρός.

ῥόα, ἡ, *malum Punicum*. Legg. VIII. 845. B: μήλων καὶ ῥοῶν.

ῥοή, ἡ, *fluxio; flumen*. Crat. 413. E: ἡ ἐναντία ῥοή. 420. A. Theaet. 152. E: ἔκγονα ῥοῆς τε καὶ κινήσεως. Crat. 416. A: τὸ ... ἴσχον τῆς ῥοῆς τὰ ὄντα. 402. A: ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα. 414. A: τῇ ἄνω ῥοῇ. 426. D: ἐν αὐτῷ τῷ ῥεῖν καὶ ῥοῇ. Theaet. 182. E: ὥστε καὶ αὐτοῦ τούτου εἶναι ῥοήν. 206. D: εἰς τὴν διὰ τοῦ στόματος ῥοήν. Crat. 413. E: τὴν ἐναντίαν ῥοήν. 415. D: λελυμένην τὴν ῥοὴν τῆς ἀγαθῆς ψυχῆς εἶναι ἀεί. Tim. 58. E.

ῥοπή, ἡ, *nutus*. Locr. 97. E: ἁ γᾶ ἐρήρεισται ἐπὶ τᾶς αὐτᾶς ῥοπᾶς. 100. D: ῥοπᾷ. **momentum, impulsus*. Pol. VIII. 556. E: ὥσπερ σῶμα νοσῶδες μικρᾶς ῥοπῆς ἔξωθεν δεῖται προσλαβέσθαι πρὸς τὸ κάμνειν.

ῥοῦς, ὁ, *fluxio, flumen*. Crat. 411. D: φορᾶς ... καὶ

ῥοῦ νόησις. 419. E: τῷ μάλιστα ἕλκοντι τὴν ψυχὴν ῥῷ. 416. B: τῷ ἀεὶ ἴσχοντι τὸν ῥοῦν. 437. B: ὅτι ἵστησι τὸν ῥοῦν. Pol. VI. 492. C: οἰχήσεσθαι φερομένην κατὰ ῥοῦν ᾗ ἂν οὗτος φέρῃ.

ῥύαξ, ὁ, *flumen igneum*, quod dicimus *Lavastrom.* Phaed. 111. E: ὥσπερ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ. 113. B: οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν.

ῥυθμίζω, *tempero, compono.* Phaedr. 253. B: τὰ παιδικὰ πείθοντες καὶ ῥυθμίζοντες. Locr. 103. D: δεῖ ... καὶ τὰν ψυχὰν ῥυθμίζεσθαι ποτὶ τὰς ἀναλόγως ἀρετάς.

ῥυθμικός, ή, όν, *concinnus.* Polit. 307. A: πᾶσαν ῥυθμικὴν κίνησιν.

ῥυθμός, ὁ, *motus temperatio, numerus* (germ. *Takt, taktmässige Bewegung*). Conv. 187. B: ὥσπερ γε καὶ ὁ ῥυθμὸς ἐκ τοῦ ταχέος καὶ βραδέος διενηνεγμένων πρότερον, ὕστερον δὲ ὁμολογησάντων γέγονε. Pol. III. 400. D. Tim. 47. D. Legg. II. 665. A: τῇ ... τῆς κινήσεως τάξει ῥυθμὸς ὄνομα εἴη. Conv. 187. C: ἐν ... αὐτῇ τῇ συστάσει ἁρμονίας τε καὶ ῥυθμοῦ. Pol. III. 398. D: ὅτι τὸ μέλος ἐκ τριῶν ἐστὶ συγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ. Legg. II. 656. C. Conv. 187. D: ῥυθμῷ τε καὶ ἁρμονίᾳ. Pol. III. 397. C. X. 601. A: ἐν μέτρῳ καὶ ῥυθμῷ καὶ ἁρμονίᾳ. Legg. II. 670. B: βαίνειν ἐν ῥυθμῷ. Gorg. 502. C: εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον cet. Conv. 187. C: περὶ ἁρμονίαν καὶ ῥυθμόν. Pol. III. 397. B: ἐάν τις ἀποδιδῷ πρέπουσαν ἁρμονίαν καὶ ῥυθμὸν τῇ λέξει. Legg. II. 655. A: περὶ ῥυθμὸν καὶ ἁρμονίαν οὔσης τῆς μουσικῆς. 669. D. Ion. 534. A. Pol. III. 400. A: οἵτινες δ' ἂν εἶεν οὗτοι οἱ ῥυθμοί, σὸν ἔργον ... φράσαι. Legg. II. 672. E: τὸ δέ γε κατὰ τὴν τοῦ σώματος κίνησιν ῥυθμὸν ... κοινὸν τῇ τῆς φωνῆς εἶχε κινήσει. Pol. III. 397. B: πάντων ... ῥυθμῶν. Legg. II. 670. B. D: ταῖς ... βάσεσι τῶν ῥυθμῶν. VII. 810. B: ἄνευ ῥυθμῶν τμημάτων. Hipp. mai. 285. D. Crat. 124. C: οἱ ἐπιχειροῦντες τοῖς ῥυθμοῖς. Pol. III. 404. D: ἐν πᾶσι ῥυθμοῖς πεποιημένη (ᾠδῇ). Legg. II. 660. A: ἔν τε ῥυθμοῖς σχήματα καὶ ἐν ἁρμονίαις μέλη ποιοῦντα ὀρθῶς ποιεῖν. VII. 800. D. VIII. 835. A: καθ' ἁρμονίας ῥυθμοῖς κραθείσας καὶ ὀρχήσεσι. Prot. 326. B: τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμονίας. Phil. 17. D. Pol. III. 400. B. Legg. II. 669. C: ῥυθμοὺς δούλων καὶ ἀνελευθέρων προσαρμόττειν. **ratio, proportio.* Locr. 95. C: ῥυθμῷ δίκαν. Legg. V. 728. E: κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει.

ῥυμβῶ, *vibro.* Crat. 426. E: ῥυμβεῖν (v. ῥέμβειν).

ῥύμη, ἡ, *impetus, motus.* Soph. 236. D: ἤ σε οἷον ῥύμη τις ὑπὸ τοῦ λόγου ... συνεπεσπάσατο πρὸς τὸ ταχὺ ξυμφῆσαι; Epin. 985. B: ἐλαφρᾷ φερόμενα ῥύμῃ. 983. C: ῥύμας ... εἴ τις αἰτίας τινὰς ἐρεῖ σωμάτων ἢ φύσεις cet.

ῥύμμα, τό, *remedium purgans* (velut nitrum, lixivia al.). Pol. IV. 430. B: παντὸς ἄλλου ῥύμματος (δεινοτέρα οὖσα). 429. E: ἡ πλύσις οὔτ' ἄνευ ῥυμμάτων οὔτε μετὰ ῥυμμάτων δύναται αὐτῶν τὸ ἄνθος ἀφαιρεῖσθαι. 430. A: (διὰ τὸ) μὴ αὐτῶν ἐκπλῦναι τὴν βαφὴν τὰ ῥύμματα ταῦτα.

ῥύπος, ὁ, *sordes*. Parm. 130. C: πηλὸς καὶ ῥύπος.

ῥυπτικός, ή, όν, *purgans*. Tim. 65. D: τὰ ... ῥυπτικά.

ῥύπτω, *purgo*. Locr. 100. E: ῥύπτοντα τὰν γλῶτταν.

ῥύσις, ἡ, *fluxus*. Legg. XII. 944. B: ὑποδεξαμένης αὐτοὺς ἐξαίφνης πολλῆς ῥύσεως ὕδατος.

ῥυσός, ή, όν, *rugosus*. Tim. 71. C: ξυνάγουσα ... πᾶν ῥυσὸν (Par. A. c. al. Vulg. ῥυσσὸν) καὶ τραχὺ ποιοῖ. Pol. V. 452. B: ὅταν ῥυσοὶ (v. ῥυσσοὶ) καὶ μὴ ἡδεῖς τὴν ὄψιν ὅμως φιλογυμναστῶσι.

ῥυτίς, ἡ, *ruga*. Conv. 190. E: τὰς ... ἄλλας ῥυτίδας τὰς πολλὰς ἐξελέαινε. 191. A: λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας.

ῥυτός, ή, όν, *fluidus*. Locr. 99. C: ὕδωρ ... τὸ μὲν ῥυτόν, τὸ δὲ πακτόν.

ῥύψις, ἡ, *purgatio*. Tim. 65. E: ἐπὶ τὸ μέτριον ... τῇ ῥύψει χρώμενα. Locr. 100. E: μετριάζοντα ... τᾷ ῥύψει.

ῥυώδης, ὁ ἡ, *abundans*. Tim. 86. C: τὸ ... σπέρμα ὅτῳ πολὺ καὶ ῥυῶδες περὶ τὸν μυελὸν γίγνεται. D: διὰ τὴν ἑνὸς γένους ... ῥυώδη καὶ ὑγραίνουσαν.

ῥωμαλέος, α, ον, *robustus*. Ax. 365. A: τῷ σώματι ῥωμαλέον.

ῥώμη, ἡ, *robur*, *vis* et *vires*; etiam *animi firmitas*, *constantia*. Crat. 420. E: ἕως ... πάρεστιν ἡ ῥώμη. Pol. VI. 498. B: ὅταν ... λήγῃ ... ἡ ῥώμη. Legg. IV. 710. E. Menex. 243. C: ἐκφανὴς ἐγένετο ἡ τῆς πόλεως ῥώμη τε καὶ ἀρετή. Def. 412. A: ῥώμη καρτερικὴ πρὸς ἀρετήν. Prot. 311. B: ἀποπειρώμενος τοῦ Ἱπποκράτους τῆς ῥώμης. Phaedr. 238. C: ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα. Legg. VII. 796. A: μετ' εὐσχήμονος ῥώμης. VIII. 833. A: ἰσχύος καὶ ῥώμης δεομένης. Id. IX. 863. C. Pol. VI. 488. A: μεγέθει ... καὶ ῥώμῃ. Tim. 25. B: ἀρετῇ τε καὶ ῥώμῃ. Legg. I. 633. C: τῇ τοῦ πνίγους ῥώμῃ διαμαχομένων. III. 692. A: τῇ κατὰ γένος αὐθάδει ῥώμῃ. IV. 711. E: τῇ τοῦ λέγειν ῥώμῃ. VII. 805. A: τὸ μὴ πάσῃ ῥώμῃ πάντας ... ἐπιτηδεύειν ἄνδρας γυναιξὶ ταὐτά. 814. A: ἔξωθεν πολεμίους εἰςπεσόντας ῥώμῃ τινὶ μεγάλῃ καὶ βίᾳ. X. 892. E: σχεδὸν ἴσως ἄβατος ὡς τῇ σφῶν ῥώμῃ. Ep. IV. 320. B: ἀνδρείᾳ ... καὶ τάχει καὶ ῥώμῃ διενεγκεῖν cet. Phaedr. 267. A: διὰ ῥώμην λόγου. 270. B: εἰ μέλλεις ... ὑγίειαν καὶ ῥώμην ἐμποιήσειν. Polit. 259. C: πρὸς τὴν τῆς ψυχῆς σύνεσιν καὶ ῥώμην. 297. A: τὴν τῆς τέχνης ῥώμην τῶν νόμων παρεχομένων κρείττω. 305. C: τὴν τῶν δικαστῶν ... ῥώμην. Phil. 49. B: ῥώμην ... καὶ δύναμιν. 56. A: μελέτῃ καὶ πόνῳ τὴν

ῥώμην ἀπειργασμένας. Conv. 190. B: *ἦν ... τὴν ἰσχὺν δεινὰ καὶ τὴν ῥώμην.* Pol. II. 361. B: *διὰ ... ἀνδρείαν καὶ ῥώμην.* Legg. III. 686. E: *δύναμιν ἔχον πολλὴν καὶ ῥώμην.* VII. 789. D: *ὑγίειαν καὶ κάλλος καὶ τὴν ἄλλην ῥώμην ... παραδιδόναι.* 824: *τὴν ἄγριον τῶν θηρίων ῥώμην.* VIII. 839. D: *διὰ τὴν τῆς ἀπιστίας ῥώμην.* 841. A: *τὴν τῶν ἡδονῶν ῥώμην.* Alc. I. 135. E: *τὴν τῆς πόλεως ὁρῶν ῥώμην.* Locr. 103. D: *ποτὶ ῥώμαν καὶ ἰσχύν.*

ῥώννυμι, *corroboro*, *firmo*, pass. *corroboratus*, etiam *robustus* vel *potens sum*, *valeo.* Locr. 103. E: *ῥωννύουσι γὰρ διὰ προτροπᾶν ἐγείροισαι τὰν ὁρμάν.* B: *ῥωννῦσά ποτ' ἀλκάν.* Conv. 176. B: *οὐδ' αὐτὸς ἔῤῥωμαι (πίνειν).* Ib. *πρὸς τὸ ἐῤῥῶσθαι πίνειν.* Pol. VI. 491. C: *ξυγγένεια ἐῤῥωμένη.* VIII. 564. D: *ἀγύμναστον καὶ οὐκ ἐῤῥωμένον γίγνεται.* Locr. 104. A: *ἐῤῥωμέναι ταὶ δυνάμιες αἵματος καὶ πνεύματος.* Phil. 49. E: *μισητὰ δ' ὁπόσα ἐῤῥωμένα.* Conv. 210. D: *ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθείς.* Phaedr. 238. C: *ἐῤῥωμένως ῥωσθεῖσα.* Etiam qui *valere iubet* hoc verbo utitur. Ep. I. 310. A: *ἔῤῥωσο* (*vale*). II. 314. C. X. 358. C. al. Phaed. 61. B: *Εὐηνῷ φράζε καὶ ἐῤῥῶσθαι* cet.

Σ.

σῖγμα, τό. Theaet. 203. B: *τὸ ... σῖγμα τῶν ἀφώνων ἐστί, ψόφος τις μόνον οἷον συριττούσης τῆς γλώττης.* Crat. 402. E: *ἀντὶ τοῦ σῖγμα.* 427. A. Theaet. 203. D: *τὸ σῖγμα ... γιγνώσκει.* Crat. 407. B: *τὸ σῖγμα ἀφελών.* Eryx. 395. C.

σαγηνεύω, *velut indagine cingo* et *capio.* Legg. III. 698. D: (*ὡς*) *συνάψαντες ... τὰς χεῖρας σαγηνεύσαιεν πᾶσαν τὴν Ἐρετρικὴν οἱ στρατιῶται τοῦ Δάτιδος.*

σαθρός, ά, όν, *puter* et in univ. *vitiosus* (vern. *schadhaft*). Euth. 5. C: *εὕροιμ' ἂν ... ὅπῃ σαθρός ἐστι* (nos: *wo es ihm fehlt*). Legg. I. 736. E: *ταύτης ... σαθρᾶς οὔσης τῆς μεταβάσεως.* Gorg. 479. B: *σαθρᾷ* (*ψυχῇ*). Theaet. 179. D: *εἴτε ὑγιὲς εἴτε σαθρὸν φθέγγεται* (*ἡ φερομένη οὐσία*). Phil. 55. C: *εἴ πῄ τι σαθρὸν ἔχει* (*ἠχεῖ?*), *πᾶν περικρούωμεν.* Gorg. 493. E: *τὰ δ' ἀγγεῖα τετρημένα καὶ σαθρά.*

σαλεύω, *agito*, *iacto*, intrans. *iactor.* Legg. XI. 923. B: *ἐν νόσοις ἢ γήρᾳ σαλεύοντας.* Tim. 79. E: *κύκλον* (sic Par. A. Vulg. *κύκλῳ*) *οὕτω σαλευόμενον.*

σάλπιγξ, ἡ, *tuba.* Pol. III. 397. A: *σαλπίγγων.*

σαόφρων, i. q. *σώφρων.* Men. 96. A. (Theogn.).

σαπρότης, ἡ, putredo. Pol. X. 609. E: *εἴτε παλαιότης εἴτε σαπρότης.*

σαρδάνιον ridere dicitur qui in damno alterius cavillatur. Pol. I. 337. A: *ἀνεκάγχασε ... μάλα σαρδάνιον* (sic Par. A. c. al. Vulg. *σαρδόνιον*).

σάρδιον, τό, sarda. Phaed. 110. D: *σάρδιά τε καὶ ἰάσπιδας* cet.

σάρκινος, η, ον, carnosus. Legg. X. 906. C: *ἐν ... σαρκίνοις σώμασι νόσημα καλούμενον.*

σαρκοειδής, ὁ ἡ, carnosus. Tim. 75. E: *τῆς ... σαρκοειδοῦς φύσεως.*

σαρκώδης, ὁ ἡ, carnosus. Tim. 75. B: *σαρκώδη ἔχον ... κεφαλήν.*

σάρξ, ἡ, caro. Tim. 62. B: *σκληρὸν ... ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκῃ.* 82. E. 60. B: *τὸ ... τῆς σαρκὸς διαλυτικόν.* 61. C. 74. B: *τὸ τῆς σαρκὸς γένος.* 84. A: *σαρκί.* Conv. 207. D: *κατὰ τὰς τρίχας καὶ σάρκα* cet. Tim. 67. D: *τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς.* 82. C: *σάρκες καὶ νεῦρα ἐξ αἵματος γίγνεται.* Gorg. 518. D: *τῶν ἀρχαίων σαρκῶν.* Phaed. 98. D: *μετὰ τῶν σαρκῶν καὶ δέρματος.* Conv. 211. E: *ἀνάπλεων σαρκῶν ... ἀνθρωπίνων.* Legg. VI. 782. C: *σαρκῶν δ' ἀπείχοντο* cet. XII. 959. C: *τὸν τῶν σαρκῶν ὄγκον θαπτόμενον.* Phaed. 96. D: *ἐπειδὰν ... ἐκ τῶν σιτίων ταῖς ... σαρξὶ σάρκες προσγένωνται.* Tim. 74. D. E. Gorg. 518. D: *οἳ ... προσαπολοῦσιν ... καὶ τὰς ἀρχαίας σάρκας.* Pol. VIII. 556. D: *πολλὰς ἔχοντι σάρκας ἀλλοτρίας.* Tim. 83. E. Legg. VII. 797. E: *σάρκας φύσαντα οἰκείας τούτοις.*

σαφήνεια, ἡ, perspicuitas; claritas. Polit. 264. C: *σαφηνείας ἕνεκα.* Pol. VI. 511. E: *οὕτω ταῦτα σαφηνείας ἡγησάμενος μετέχειν.* Legg. VII. 812. D: *σαφηνείας ἕνεκα τῶν χορδῶν.* Soph. 254. C: *εἰ μὴ πάσῃ σαφηνείᾳ δυνάμεθα λαβεῖν.* Pol. V. 478. C: *ὑπερβαίνουσα ἢ γνῶσιν σαφηνείᾳ ἢ ἄγνοιαν ἀσαφείᾳ.* V. 509. D. Phaedr. 277. D: *μεγάλην τινὰ ἐν αὐτῷ βεβαιότητα ἡγούμενος καὶ σαφήνειαν.* Phil. 57. C: *εἰς σαφήνειαν.* Pol. VII. 524. C.

σαφής, ὁ ἡ, perspicuus, manifestus, clarus, evidens; certus. Legg. VI. 757. A: *διὰ τὸ μὴ σφόδρα σαφὴς εἶναι* (*ἰσότης*). XII. 957. D: *βάσανος ... σαφής.* Ep. VII. 341. A: *ἡ ... πεῖρα αὕτη γίνεται ἡ σαφὴς* cet. Phaedr. 239. E: *σαφὲς ... τοῦτό γε παντὶ μὲν ... ὅτι* cet. Phaed. 107. B: *κἂν τοῦτο αὐτὸ σαφὲς γένηται.* Soph. 234. E. Legg. XI. 921. B: *σαφεῖ τε καὶ ἀψευδεῖ ... πράγματι.* Phaedr. 265. D: *τὸ ... σαφὲς ... διὰ ταῦτ' ἔσχεν εἰπεῖν ὁ λόγος.* 275. C: *ὥς τι σαφὲς καὶ βέβαιον ἐκ γραμμάτων ἐσόμενον* (*εἰσόμενον?*). Gorg. 451. D: *οὐδέν πω σαφὲς* (*τοῦτο λέγεις*). Phaed. 57. B: *σαφές τι ἀγγεῖλαι.* 69. D: *ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα.* Phil. 56. A: *ὥστε πολὺ μεμιγμένον ἔχειν τὸ μὴ σαφές.*

Conv. 172. D: *οὐδὲν εἶχε σαφὲς λέγειν.* Legg. IX. 855. B: *σκοποῦντες τὸ σαφές.* X. 888. C: *τὸ ... σαφὲς ἂν γενόμενόν σοι περὶ αὐτῶν ... δόγμα ... περιμενεῖς.* Phaedr. 234. E: *ὅτι σαφῆ ... ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται.* Legg. V. 745. A: *ὅπως ἂν αἱ δίκαι περὶ πάντων ... ῥᾴδιαί τε ὦσι καὶ σφόδρα σαφεῖς.* XI. 917. E: *νόμους ... μηνυτὰς σαφεῖς.* Crat. 439. A: *ποτέρα ἂν εἴη καλλίων καὶ σαφεστέρα ἡ μάθησις;* Legg. XII. 965. C: *ταύτης οὐκ ἔστι σαφεστέρα μέθοδος ἀνθρώπων οὐδενί.* Phaedr. 238. B: *λεχθὲν ... ἢ μὴ λεχθὲν πᾶν πως σαφέστερον.* Pol. II. 362. E: *ἵν᾽ ᾖ σαφέστερον ὅ μοι δοκεῖ βούλεσθαι Γλαύκων.* Legg. I. 626. D: *τὸν ... λόγον ... σαφέστερον ἐποίησας.* Phil. 57. B: *σαφεστέραν (τέχνην) ... ἄλλην ἄλλης.* Soph. 233. D: *λάβωμεν ... σαφέστερόν τι παράδειγμα περὶ τούτων.* Pol. VI. 511. C: *σαφέστερον εἶναι τὸ ... τοῦ ὄντος τε καὶ νοητοῦ θεωρούμενον ἢ* cet. Ep. III. 319. D: *σαφεστέρους ... λόγους.* Pol. VII. 515. E: *νομίζειν ταῦτα ... σαφέστερα τῶν δεικνυμένων.* Legg. III. 691. B: *τὸ ... σαφέστατον ἂν εἴη τὸ τοιόνδε.* Pol. VII. 532. C: *τοῦ σαφεστάτου ἐν σώματι.*

σαφῶς, *perspicue, manifesto, plane; accurate; certo, sine dubio.* Prot. 361. B: *σαφῶς οὐκ ἂν ἦν διδακτόν.* Phaedr. 241. E: *ὅτι ὑπὸ τῶν Νυμφῶν ... σαφῶς ἐνθουσιάσω.* 242. C: *σαφῶς οὖν ἤδη μανθάνω τὸ ἁμάρτημα.* Gorg. 453. B: *σαφῶς ... εὖ ἴσθ᾽ ὅτι οὐκ οἶδα.* 485. B: *ὅταν ... σαφῶς διαλεγομένου παιδαρίου ἀκούσω.* Soph. 217. B: *διορίσασθαι σαφῶς.* Crat. 384. A: *σαφῶς εἰπεῖν.* Pol. I. 336. D: *σαφῶς μοι καὶ ἀκριβῶς λέγε ὅ τι ἂν λέγῃς.* VI. 508. D: *σαφῶς ὁρῶσι.* Tim. 40. D: *σαφῶς δέ που τούς γε αὐτῶν προγόνους εἰδόσιν.* Legg. IV. 723. C. Crit. 44. B: *οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν.* Prot. 352. A: *ἵνα ἐπισκέψωμαι σαφέστερον.* Phaedr. 263. A: *ἔτι δ᾽ εἰπὲ σαφέστερον.* Gorg. 464. B: *σαφέστερον ἐπιδείξω.* Theaet. 169. E: *σαφέστερον περὶ τούτου αὐτοῦ διομολογήσασθαι.* Pol. I. 338. D. VII. 523. A: *ἵνα καὶ τοῦτο σαφέστερον ἴδωμεν.* Tim. 50. A. Lach. 196. C: *αὐτοῦ οὖν σαφέστερον πυθώμεθα τί ποτε νοεῖ.* Hipp. mai. 300. E: *ἀλλά μου σαφέστερον ἄκουσον ὃ βούλομαι λέγειν.* Phaed. 58. D: *ὡς σαφέστατα ... ἀπαγγεῖλαι.* Soph. 228. D: *νόσος αὐτῆς σαφέστατα ὄν.* Polit. 302. B. Phil. 35. A. Pol. I. 340. A. Tim. 62. C. Legg. VII. 822. A: *πειρῶ ... φράζειν ὡς σαφέστατα.*

σβέννυμι, *exstinguo, comprimo.* Legg. VIII. 835. D: *οἳ μάλιστα ὕβριν σβεννύασιν.* VI. 783. D: *σβεννύναι τὴν αὔξην τε καὶ ἐπιῤῥοήν.* X. 888. A: *σβέσαντες τὸν θυμόν.*

σέβω et **σέβομαι**, *vereor; revereor, veneror, colo.* Legg. I. 647. A: *ἆρ᾽ οὖν οὐκ ... τοῦτον τὸν φόβον ἐν τιμῇ μεγίστῃ σέβει —;* VI. 777. D: *ὁ φύσει καὶ μὴ πλαστῶς σέβων τὴν δίκην.* Phaedr. 250. E: *ὥστ᾽ οὐ σέβεται προσορῶν.* 251. A: *ὡς θεὸν σέβεται.* Legg. VII. 798. B: *σέβεται καὶ φοβεῖ-*

ται πᾶσα ἡ ψυχὴ τό τι κινεῖν τῶν τότε καθεστώτων. Phaedr. 252. A: πρὸς ... τῷ σέβεσθαι. Legg. V. 729. C: τιμῶν τις καὶ σεβόμενος. VIII. 837. C: τὸ σῶφρον ... αἰδούμενος ἅμα καὶ σεβόμενος. XI. 917. B: οὔτε θεοὺς σεβόμενος. IX. 877. A: τὴν ... οὐ παντάπασι κακὴν τύχην αὐτοῦ σεβόμενον καὶ τὸν δαίμονα. Tim. 69. D: σεβόμενοι μιαίνειν τὸ θεῖον. Legg. VII. 813. D: τοὺς σφόδρα φιλομαντευτὰς σεβόμενοι. Ep. VII. 344. D: ὁμοίως γὰρ ἂν αὐτὰ ἐσέβετο ἐμοί. Pol. III. 393. E: οἱ μὲν ἄλλοι ἐσέβοντο cet. Phaedr. 254. B: σεφθεῖσα (*venerabunda*).

σειληνώδης, ὁ ἡ, *Silenorum similis.* Conv. 216. D: σειληνῶδες (τὸ σχῆμα).

σειρά, ἡ, *catena.* Theaet. 153. C: τὴν χρυσῆν σειρὰν ὡς οὐδὲν ἄλλο ἢ τὸν ἥλιον Ὅμηρος λέγει.

σεισμός, ὁ, *concussio*, *motus* (etiam *terrae*). Pol. II. 359. D: ὄμβρου ... πολλοῦ γενομένου καὶ σεισμοῦ. Tim. 62. B: τῇ ... μάχῃ καὶ τῷ σεισμῷ τούτῳ. Polit. 273. A: σεισμὸν πολὺν ἐν ἑαυτῷ ποιῶν. Crat. 427. A. Phil. 33. D: καί τινα ὥσπερ σεισμὸν ἐντιθέντα ἴδιόν τε καὶ κοινὸν ἑκατέρῳ. Pol. X. 621. B: βροντήν τε καὶ σεισμὸν γενέσθαι. Tim. 53. A: σεισμὸν παρέχοντος. 57. C. Legg. VIII. 790. E: ὅταν ... ἔξωθέν τις προσφέρῃ τοῖς τοιούτοις πάθεσι σεισμόν. Phil. 33. E: τῶν σεισμῶν τῶν τοῦ σώματος. Tim. 25. C: σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων. Critia 108. E: ὑπὸ σεισμῶν δῦσαν. 112. A. D. Legg. VII. 790. D: ὑπὸ τῶν σεισμῶν τε καὶ κινήσεων κινούμενα (τὰ σώματα πάντα). Tim. 88. D: σεισμοὺς ἀεί τινας ἐμποιῶν αὐτῷ (τ. σώματι).

σείω, *concutio*, *agito.* Crat. 403. A: ἴσως ... ἀπὸ τοῦ σείειν ὁ σείων ὠνόμασται. Tim. 52. E. 88. E: μετρίως σείων τὰ ... περὶ τὸ σῶμα πλανώμενα παθήματα καὶ μέρη. 43. D: σφοδρῶς σείουσαι τὰς τῆς ψυχῆς περιόδους. Crat. 427. A: τὸ σείεσθαι. Tim. 52. E. Crat. 426. E: μάλιστα ... σειομένην (τὴν γλῶτταν). Tim. 52. E: ὥσπερ τὰ ὑπὸ τῶν πλοκάνων ... σειόμενα. 53. A. Etiam i. q. *incito*, *vexo.* Eryx. 397. D: ἔσειεν αὐτόν.

σελαναία, i. q. σελήνη. Crat. 409. B. Ib. σελαενονεοάεια (v. σελαεννεοάεια).

σέλας, τό, *splendor.* Crat. 409. B: τὸ ... σέλας καὶ τὸ φῶς ταὐτόν.

σελήνη, ἡ, *luna.* Crat. 409. A: ὅτι ἡ σελήνη ἀπὸ τοῦ ἡλίου ἔχει τὸ φῶς. Conv. 190. B: ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων (*utriusque generis*) μετέχει. Tim. 38. C. Epin. 990. B: σελήνη ... περίοδον τὴν αὑτῆς τάχιστα διέξεισιν. Gorg. 451. C: σελήνης. Crat. 408. D. Conv. 190. B: τῆς σελήνης (ἔκγονον). Pol. VII. 516. B: τὸ ... σελήνης φῶς. Legg. X. 889. B. Gorg. 513. A: τὰς τὴν σελήνην καθαιρούσας, τὰς Θετταλίδας. Crat. 397. D: ἥλιον καὶ σελήνην cet. Tim. 38. C. Legg. X. 886. D.

σεμνός, ή, όν, *augustus, venerandus; amplus; dignus; gravis.* Gorg. 502. A: ἡ σεμνὴ καὶ θαυμαστὴ ἡ τῆς τραγῳδίας ποίησις. Ax. 368. D: οὐ γάρ ἐφαίνετό μοι σεμνὸν μαινομένῳ δήμῳ συνεξάρχειν. Euthyd. 279. A: ἢ οὐ χαλεπὸν οὐδὲ σεμνοῦ ἀνδρὸς πάνυ τι οὐδὲ τοῦτο ἔοικεν εἶναι εὐπορεῖν; Hipp. mai. 288. D: ὃς οὕτω φαῦλα ὀνόματα ὀνομάζειν τολμᾷ ἐν σεμνῷ πράγματι. Theaet. 203. E: μέγαν τε καὶ σεμνὸν λόγον. Soph. 249. A: σεμνὸν καὶ ἅγιον νοῦν. Polit. 290. D: δόξαν σεμνὴν λαμβάνει. Crat. 392. A: οὐκ οἴει τοῦτο σεμνόν τι εἶναι γνῶναι —; Pol. II. 382. B: οἴει γάρ τί με ... σεμνὸν λέγειν. Legg. VII. 814. E: ἐπὶ τὸ σεμνὸν μιμουμένην. Theaet. 150. A: ἅτε σεμναὶ αὗται αἱ μαῖαι. Legg. I. 633. D: τῶν σεμνῶν οἰομένων εἶναι. Euthyd. 303. C. Ep. VII. 341. E: ὡς σέμν᾽ ἄττα μεμαθηκότας. Menex. 235. B: σεμνότερος. Crit. 51. A: ὅτι ... τιμιώτερόν ἐστι πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον. Polit. 266. D: σεμνοτέρου. Sis. 390. D: ὀνόματι σεμνοτέρῳ μόνον κεχρημένον τούτῳ. Soph. 227. B: σεμνότερον δέ τι τὸν διὰ στρατηγικῆς ἢ φθειριστικῆς δηλοῦντα θηρευτικὴν οὐδὲν νενόμικεν. Pol. V. 475. A: κἂν μὴ ὑπὸ μειζόνων καὶ σεμνοτέρων τιμῶνται. Legg. V. 729. D: σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὑτὸν ἡγούμενος. Def. 412. E: κατὰ λογισμὸν ὀρθὸν τὸν σεμνότατον. Phaedr. 257. D: οἱ μέγιστον δυνάμενοί τε καὶ σεμνότατοι ἐν ταῖς πόλεσιν. Alc. II. 148. E: σεμνοτάτας (πομπάς). Polit. 290. A: τὰ σεμνότατα καὶ μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι.

σεμνότης, ἡ, *maiestas, gravitas.* Menex. 235. B: καί μοι αὕτη ἡ σεμνότης παραμένει cet. Def. 413. E: σχῆμα σεμνότητος. Epin. 984. A: σεμνότητι ... διαφέροντα.

σεμνύνω, *extollo, effero, honore afficio.* Phil. 28. A: σεμνύνεις γὰρ ... τὸν σαυτοῦ θεόν. Phaedr. 272. D: οὐδὲν οὕτω ταῦτα δεῖν σεμνύνειν. Gorg. 512. B: σεμνύνων τὸ πρᾶγμα. Phil. 28. C. Legg. IV. 710. A. Polit. 263. B: σεμνῦνον αὑτὸ ἑαυτό. Phaedr. 244. D: τὸ ᾧ (al. τῷ ᾧ) *σεμνύνοντες, Phil. 28. C: ἑαυτοὺς ὄντως σεμνύνοντες. Pol. VIII. 858. B. Med. *me iacto, glorior.* Gorg. 511. D: οὐ σεμνύνεται ἐσχηματισμένη ὡς ὑπερήφανόν τι διαπραττομένη. Parm. 128. C: ὅτι οὐ παντάπασιν οὕτω σεμνύνεται τὸ γράμμα. Pol. III. 405. A: (ἆρ᾽ οὐ) δικανική τε καὶ ἰατρικὴ σεμνύνονται —; Phaedr. 242. E: σεμνύνεσθαι ὥς τι ὄντε. Gorg. 512. B. Theag. 130. B: Θουκυδίδην ... ἀκούω ... σεμνύνεσθαι ἄττα πρὸς σέ. Theaet. 175. A: ἐπὶ πέντε καὶ εἴκοσι καταλόγῳ προγόνων σεμνυνομένων.

σεμνῶς, *superbe,* in re pos. *splendide.* Phaedr. 258. A: ἑαυτὸν δὴ λέγων μάλα σεμνῶς καὶ ἐγκωμιάζων. 275. D: σεμνῶς πάνυ σιγᾷ. Conv. 199. A: καὶ καλῶς γ᾽ ἔχει καὶ σεμνῶς ὁ ἔπαινος. Pol. VIII. 563. C: πάνυ ἐλευθέρως καὶ σεμνῶς εἰθισμένοι πορεύεσθαι.

σηκός, ὁ, stabulum. Theaet. 174. E: *σηκὸν ἐν ὄρει τὸ τεῖχος περιβεβλημένον.* Pol. V. 460. C: *εἰς τὸν σηκὸν οἴσουσι.* Ib. *ἐπὶ τὸν σηκὸν ἄγοντες.*

σῆμα, τό, signum. Crat. 400. C: *διότι ... τούτῳ σημαίνει ἃ ἂν σημαίνῃ ἡ ψυχή, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι.* *sepulcrum.* Gorg. 493. A: *(ὡς) τὸ ... σῶμά ἐστιν ἡμῖν σῆμα.* Phaedr. 264. D: *ἐπὶ σήματι* (epigr.). Crat. 400. B: *σῆμά τινές φασιν αὐτὸ (τὸ σῶμα) εἶναι τῆς ψυχῆς.* Pol. III. 391. B: *περὶ τὸ σῆμα τὸ Πατρόκλου.*

σημαίνω, significo, indico; ostendo, declaro. Soph. 250. B: *ἀλλ' ἑστάναι σημαίνεις λέγων αὐτὰ ἀμφότερα εἶναι;* Phaedr. 275. D: *ἕν τι σημαίνει μόνον ταὐτὸν ἀεί.* Gorg. 511. B: *ὡς ὁ λόγος σημαίνει.* 527. C: *ὡς ὁ σὸς λόγος σημαίνει.* E. Id. Phaed. 66. E. Theaet. 160. C. Pol. I. 334. A. al. Soph. 262. B: *ὅσα πράξεις σημαίνει ῥήματα.* Crat. 393. A: *ὁ γὰρ ἄναξ καὶ ὁ ἕκτωρ σχεδόν τι ταὐτὸν σημαίνει.* Pol. VII. 524. A: *εἰ τό τε βαρὺ κοῦφον καὶ τὸ κοῦφον βαρὺ σημαίνει.* Legg. I. 626. E: *ταῦτα ... ὡς πολέμου ἐν ἑκάστοις ἡμῶν ὄντος πρὸς ἡμᾶς αὐτοὺς σημαίνει.* IV. 722. E. Soph. 255. B: *εἰ τὸ ὂν καὶ τὸ ταὐτὸν μηδὲν διάφορον σημαίνετον.* Crat. 400. C: *ἃ ἂν σημαίνῃ ἡ ψυχή.* Soph. 244. A: *τί ποτε βούλεσθε σημαίνειν.* Parm. 141. D. Crat. 437. C: *μένοντα τὰ πράγματα σημαίνειν.* 420. A: *σημαίνων οὐ παρόντος εἶναι* cet. Legg. X. 907. D: *σημαίνων πρὸς ἄρχοντας.* Soph. 258. B: *οὐκ ἐναντίον ἐκείνῳ σημαίνουσα.* Crat. 437. A: *μᾶλλον ἔοικε σημαίνοντι ὅτι* cet. Pol. X. 602. E. Crat. 405. E: *φοβοῦνται αὐτὸ ὡς σημαῖνον φθοράν τινα.* Pol. X. 616. A: *τοῖς ἀεὶ παριοῦσι σημαίνοντες ὧν ἕνεκά τε ταῦτα ὑπομένοιεν* cet. Polit. 275. E: *ἐπειδὴ δεῖν τοῦτ' ἐσήμαινεν ὁ λόγος.* Crat. 437. D. (ubi v. *ἐσήμανε*). Pol. III. 388. E. VII. 523. D: *οὐδαμῶς γὰρ ἡ ὄψις αὐτῇ ἅμα ἐσήμηνε* (sic Par. A. c. al. Vulg. *ἐσήμαινε*) *τὸν δάκτυλον τοὐναντίον ἢ δάκτυλον εἶναι.* Legg. III. 682. A: *τάχα γὰρ ἂν σημήνειέ τι τῆς ἡμετέρας περὶ βουλήσεως.* Phaed. 62. C: *μὴ σημήναντος σου ὅτι βούλει αὐτὸ τεθνάναι,* *obsigno.* Legg. XII. 954. A: *τά τε σεσημασμένα καὶ τὰ ἀσήμαντα.* B. C. Med. Legg. XII. 954. C: *σημηνάσθω.* — Intrans. *patere.* Epin. 989. A: *ὡς ἄρτι σημαίνειν ἐκ τῶν εἰρημένων μοι σφόδρα δοκεῖ.*

σημάντωρ, ὁ, dux. Pol. III. 389. E. (Hom.).

σημεῖον, τό, signum (etiam *sigillum*), *indicium; ostentum.* Phaedr. 242. B: *τὸ δαιμόνιον ... σημεῖον.* Soph. 262. A: *τὸ ... σημεῖον τῆς φωνῆς ... ὄνομα.* Crat. 415. A: *μηχανὴ γάρ μοι δοκεῖ τοῦ ἄνειν ἐπὶ πολὺ σημεῖον εἶναι.* Apol. 40. B: *τὸ τοῦ θεοῦ σημεῖον.* C. 41. D. Theag. 129. B: *τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον.* D. Def. 414. D: *σημεῖόν τι κοινὸν ἑρμηνευτικόν.* Crat. 427. C: *τοῦ οὐ δεόμενος σημείου.* Theag. 129. D. Theaet. 192. B: *ἔχει τὸ σημεῖον κατὰ τὴν αἴσθησιν.* 208. C: *τὸ ἔχειν τι σημεῖον εἰπεῖν ᾧ τῶν*

ἁπάντων διαφέρει τὸ ἐρωτηθέν. Polit. 268. E: *τὸ περὶ τῆς χρυσῆς ἀρνὸς ἴσως σημεῖον φράζεις.* Crat. 427. C: *ἑκάστῳ τῶν ὄντων σημεῖόν τε καὶ ὄνομα ποιῶν.* Phil. 24. E. Pol. VI. 496. C: *τὸ δαιμόνιον σημεῖον.* Theaet. 194. C: *καθαρὰ τὰ σημεῖα ἐγγιγνόμενα.* Pol. X. 607. C: *ἄλλα μυρία σημεῖα παλαιᾶς ἐναντιώσεως τούτων.* Legg. VII. 792. A: *σημεῖα οὐδαμῶς εὐτυχῆ.* Phaedr. 244. C: *διά τε ὀρνίθων ... καὶ τῶν ἄλλων σημείων.* Pol. II. 382. E: *οὔτε κατὰ σημείων πομπάς.* Theaet. 191. D: *ὥσπερ δακτυλίων σημεῖα ἐνσημαινομένους.* Soph. 262. D: *περὶ τὰ τῆς φωνῆς ... σημεῖα.* Pol. X. 614. C: *σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν.* Tim. 40. C: *σημεῖα τῶν μετὰ ταῦτα γενησομένων ... πέμπουσι.* 72. B: *σημεῖα ἐναργέστερα ἔχει.* Legg. IX. 856. A: *γράμμασι σημεῖα ἐπιβάλλοντας πάντων τῶν δικαστῶν.* **signum*, i. e. *argumentum.* Gorg. 520. E: *ὥστε καλὸν δοκεῖ τὸ σημεῖον εἶναι εἰ* cet. Crat. 395. A: *σημεῖον δ' αὐτοῦ ἡ ἐν Τροίᾳ μονὴ* cet. Pol. II. 368. B: *σημεῖον δέ μοι ὅτι* cet. Tim. 71. E: *ἱκανὸν δὲ σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ θεὸς ἀνθρωπίνῃ δέδωκεν· οὐδεὶς γὰρ* cet. De lege 321. B: *ὅτι γε ἀγαθὸς ἦν ... τοῦτο μέγιστον σημεῖον ὅτι* cet. Theaet. 153. A: *ἐπεὶ καὶ τάδε τῷ λόγῳ σημεῖα ἱκανὰ ὅτι* cet.

σηπεδών, ἡ, putredo. Phaed. 110. E: *οὐδὲ διεφθαρμένοι ... ὑπὸ σηπεδόνος καὶ ἅλμης.* Tim. 66. A. Phaed. 96. B: *ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ.* Pol. X. 609. A: *σηπεδόνα ... ξύλοις.*

σήπω, putrefacio; σήπομαι, putresco. Tim. 84. D: *τὰ ... οὐ τυγχάνοντα ἀναψυχῆς σήπει.* Theaet. 153. C: *ὅτι αἱ ... ἡσυχίαι σήπουσι καὶ ἀπολλύασι.* Ax. 365. C: *(εἰ) ἀειδὴς ... κείσομαι σηπόμενος.* Tim. 66. D: *σηπομένων.* Phaed. 80. D: *καὶ ἐὰν σαπῇ.* 87. E: *ταχὺ σαπὲν διοίχοιτο.*

σῆραγξ, ἡ, rupes. Phaed. 110. A: *σήραγγες ... καὶ ἄμμος* cet. **hiatus, cavum.* Tim. 70. C: *σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας.*

σῆψις, ἡ, putredo. Locr. 102. C: *ὑγρῶν σάψιες.* Ax. 365. D: *ἀλγεῖς ἐπὶ σήψεσι.* Locr. 101. A: *σάψεσι.*

σθένος, τό, vis. Phaedr. 267. C: *τὸ τοῦ Χαλκηδονίου σθένος.* Legg. I. 646. A: *ὡς χρὴ γενέσθαι καὶ μὴ φεύγειν παντὶ σθένει* (*omni ope*) *κατὰ τὸ δυνατόν.* IX. 854. B: *εὐλαβεῖσθαι ... παντὶ σθένει.* Men. 81. C. (Pind.). Prot. 340. A: *σθένος ἀνέρος* (Hom.).

σιαγών, ἡ, maxilla. Tim. 75. D: *τὰς σιαγόνας ἄκρας αὐτοῖς ξυνέδησεν ὑπὸ τὴν φύσιν τοῦ προσώπου.*

σιγή, ἡ, silentium. Phaed. 84. B: *σιγὴ ... ἐγένετο.* Legg. XI. 938. A: *πειθομένοις μὲν σιγή, ἀπειθοῦσι δὲ φωνὴ νόμου ἥδε.* Gorg. 450. C: *διὰ σιγῆς.* Soph. 264. A: *μετὰ σιγῆς.* Id. Legg. III. 700. C. II. 671. C: *σιγῆς καὶ λόγου* cet. III. 696. E: *ἀλλά τινος μᾶλλον ἀλόγου σιγῆς ἄξιον ἂν*

σίῃ. Theaet. 190. A: σιγῇ (*tacite*) πρὸς αὑτόν. Pol. III. 394. A: ἀπῄει σιγῇ. Legg. VI. 785. A: ἀνομοθέτητα σιγῇ κείσθω. IX. 854. C. Crit. 43. B. Crat. 435. B: τὴν γὰρ σιγήν σου ξυγχώρησιν θήσω. Legg. VII. 790. D: οὐ σιγήν, ἀλλά τινα μελῳδίαν (προςφέρουσιν). XII. 957. B: ὅσα ... περὶ σιγὴν δικαστῶν cet. Pol. IV. 425. A: σιγὰς ... τῶν νεωτέρων παρὰ πρεσβυτέροις.

σιγῶ, *sileo, taceo*; c. accus. *silentio praetereo*. Theaet. 161. E: τὸ ... ἐμὸν ... σιγῶ. Apol. 24. D: ὁρᾷς ... ὅτι σιγᾷς καὶ οὐκ ἔχεις εἰπεῖν; Euthyd. 300. C: οὐ πάντα σιγᾷς; Hipp. min. init. σὺ ... τί σιγᾷς —; Phaedr. 275. D: σεμνῶς πάνυ σιγᾷ. Euthyd. 300. C. Theaet. 146. A: τί σιγᾶτε; Legg. VII. 792. A: οὐ ... ἂν προςφερομένου σιγᾷ. Phaedr. 276. A: σιγᾶν πρὸς οὓς δεῖ. Legg. VII. 788. C. Apol. 37. E: σιγῶν ... καὶ ἡσυχίαν ἄγων. Alc. I. 106. A. Legg. IX. 876. B: μηδὲ σιγῶντα, ἀλλὰ θορύβου μεστά. Pol. VII. 515. A: τοὺς δὲ σιγῶντας. Euthyd. 300. B: οὐ σιγῶντα λέγεις; Prot. 360. D: ἐσίγα. Riv. 139. A: ὁ ... σοφὸς ... ἐσίγησεν. Lys. 222. A. Euthyd. 286. B. Riv. 133. A: τὼ μειρακίω ἐσιγησάτην. Pol. X. 616. A: σιγήσαντος. Ep. II. 310. D: οὔτε ἡ συνουσία ἡμῶν σιγᾶται. Pol. II. 378. A: σιγᾶσθαι. Ep. II. 310. E: ὅτι οὐδ' εἰς τὸν ἔπειτα χρόνον σιγηθήσεται. 311. B: ὅτι οὐκ ... καὶ οἱ λόγοι οἱ περὶ ἡμῶν αὐτῶν σεσιγήσονται.

σιδήριον, τό, *ferramentum*. Euthyd. 300. B: βοῶντα μέγιστον τὰ σιδήρια λέγεται. Ib. ξύλα καὶ σιδήρια.

σίδηρος, ὁ, *ferrum*. Pol. III. 415. C: ὅταν αὐτὴν (τὴν πόλιν) ὁ σίδηρος ἢ ὁ χαλκὸς φυλάξῃ. Legg. XII. 956. A: σίδηρος ... καὶ χαλκὸς πολέμων ὄργανα. Phaedr. 263. A: ὅταν τις ὄνομα εἴπῃ σιδήρου cet. Pol. VIII. 547. A: μιγέντος σιδήρου ἀργύρῳ. Critia 119. E. Legg. III. 678. E: ὅσαιπερ (τέχναι) σιδήρου δέονται. Conv. 219. E: σιδήρῳ. Pol. X. 609. A. Soph. 267. E: τὸν δοξομιμητὴν ... σκοπώμεθα ὥσπερ σίδηρον. Pol. III. 411. B: ὥσπερ σίδηρον ἐμάλαξε. Legg. II. 666. C: καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα. 671. B.

σιδηροῦς, ᾶ, οῦν, *ferreus*. Pol. VIII. 547. B: τὸ ... σιδηροῦν (γένος). Eryx. 400. A: σιδηρῷ σταθμῷ νομίζουσι. Crat. 398. A: ὅτι καὶ ἡμᾶς φησὶ σιδηροῦν εἶναι γένος. Pol. VIII. 547. A. Gorg. 509. A: σιδηροῖς ... λόγοις. Pol. IX. 586. B: σιδηροῖς κέρασί τε καὶ ὁπλαῖς. Legg. VII. 795. B. Ax. 371. B: σιδηροῖς κλείθροις καὶ κλεισίν. Ion. 533. D: τοὺς δακτυλίους ... τοὺς σιδηροῦς. Legg. I. 685. A: σκληρὰς καὶ σιδηρᾶς (ἀγωγάς). VI. 778. D: σιδηρᾶ (τὰ τείχη).

σικύα, ἡ, *cucurbitula*. Locr. 102. A: ἁ ... σικύα ... ἐφέλκεται τὸ ὑγρόν. Tim. 79. E: τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια.

σιμοπρόςωπος, ὁ ἡ, *simum habens nasum*. Phaedr. 253. E.

σιμός, ή, όν, simus. Pol. V. 474. D: *ὅτι σιμός.* Theaet. 209. C: *τὸν σιμόν τε καὶ ἐξόφθαλμον.*

σιμότης, ἡ, forma nasi simi. Theaet. 209. C: *ἡ σιμότης αὕτη.* 133. E: *προςέοικε δὲ σοὶ τήν τε σιμότητα* cet. 209. C: *τῶν ἄλλων σιμοτήτων.*

σίνομαι, laedo. Legg. XI. 936. E: *ἐὰν ὑποζύγιον ... σίνηταί τι τῶν πέλας.*

σισύρα, ἡ, vestis e pellibus villosis confecta. Eryx. 400. E: *σισύραν* (al. *σίσυραν*) *δερματίνην.*

σίτησις, ἡ, victus. Apol. 37. A: *ἐν πρυτανείῳ σιτήσεως.* Pol. III. 404. D: *ὅλην ... τὴν τοιαύτην σίτησιν.*

σιτίον, τό, cibus, plur. *esculenta.* De lucri cup. 230. A: *σιτίον ἔστιν ἀγαθόν τε καὶ κακόν.* Phaedr. 241. C: *σιτίου τρόπον.* Pol. I. 338. C: *τοῦτο τὸ σιτίον.* Gorg. 490. B: *πολλὰ σιτία καὶ ποτά.* De lucri cup. 230. B. Prot. 314. A: *ἐν τῇ τῶν σιτίων* (*ὠνῇ*). Gorg. 490. D. Soph. 224. A. Pol. II. 380. E. Legg. XII. 942. D. (ubi v. *σιτῶν*). Prot. 334. C: *ἐν τοῖς σιτίοις τε καὶ ὄψοις.* Pol. IV. 420. A. Legg. II. 659. E: *ἐν ἡδέσι τισὶ σιτίοις καὶ πώμασι.* Prot. 334. A: *σιτία καὶ ποτὰ* cet. Gorg. 464. D: *προςποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰδέναι.* 517. D. Pol. II. 369. E: *παρασκευάζειν σιτία.* V. 475. C: *τὸν περὶ τὰ σιτία δυςχερῆ.* Tim. 79. A.

σιτοποιός, ὁ, pistor. Gorg. 517. D: *σιτοποιὸν ἢ ὀψοποιὸν* cet.

σῖτος, ὁ, pl. *σῖτα, τά, frumentum.* Tim. 52. E: *περὶ τὴν τοῦ σίτου κάθαρσιν.* Legg. VIII. 849. B. D. Pol. X. 609. A: *σίτῳ ... ἐρυσίβην.* Legg. VIII. 849. B: *σῖτον.* **panis* et in univ. *cibus.* Pol. II. 369. E: *ἐπὶ σίτου παρασκευῇ.* IV. 438. A: *χρηστοῦ σίτου.* VIII. 559. A. Critia 115. A. Legg. IX. 865. B: *πώματος ἢ σίτου δόσει.* Pol. II. 372. A: *σῖτον ... ποιοῦντες.* Prot. 353. C: *ὑπὸ σίτων καὶ ποτῶν.* Phaedr. 259. C. Pol. III. 403. E. IX. 571. C: *ἢ σίτων ἢ μέθης πλησθέν.* Tim. 70. D. Legg. VII. 789. D: *τὰς τῶν σίτων τροφὰς καὶ ποτῶν.*

σιτοῦμαι, cibum capio. Legg. XII. 942. B: *λοῦσθαι καὶ σιτεῖσθαι.* Apol. 36. D: *ἐν πρυτανείῳ σιτεῖσθαι.*

σιτουργός, ὁ, pistor. Polit. 267. E: *οἱ ... σιτουργοί.*

σιωπῇ, tacite. Pol. III. 389. E. (Hom.).

σιωπῶ, taceo (fut. med.). Phaedr. 234. A: *οἵτινες αἰσχυνόμενοι πρὸς ἅπαντας σιωπήσονται.*

σκαιός, ά, όν, sinister. Phaedr. 266. A: *ὀνομαζόμενον σκαιόν τινα ἔρωτα.* Ib. *σκαιά, τὰ δὲ δεξιὰ κληθέντα.* **ineptus.* Euthyd. 295. D: *μή με σκαιὸν ἡγησάμενος φοιτητὴν μὴ προσδέχοιτο.*

φάρμακον, τό, *medicamentum*. Pol. II. 382. C: *τότε ἀποτροπῆς ἕνεκα ὡς φάρμακον χρήσιμον γίγνεται.* Tim. 84. E: *ὧν* (*νοσημάτων*) *καὶ τὸ φάρμακον χαλεπόν.* Pol. III. 389. B: *ὡς ἐν φαρμάκου εἴδει.* Id. V. 459. D. Charm. 158. C: *πρὸ τῆς τοῦ φαρμάκου δόσεως.* Lys. 220. D. Charm. 157. B: *τούτῳ τῷ φαρμάκῳ μηδείς σε πείσει τὴν αὑτοῦ κεφαλὴν θεραπεύειν.* Gorg. 456. B: *φάρμακον πιεῖν.* Pol. III. 406. D: *παρὰ τοῦ ἰατροῦ φάρμακον πιών.* Charm. 155. B: *ἐπίστασθαί τι κεφαλῆς φάρμακον.* 157. C: *προσοίσω τὸ φάρμακον τῇ κεφαλῇ.* Crat. 394. A: *τὰ τῶν ἰατρῶν φάρμακα.* Pol. III. 426. B: *οὔτε φάρμακα οὔτε καύσεις* cet. Crat. 394. B: *ἅτε τὴν δύναμιν τῶν φαρμάκων σκοπουμένῳ.* Pol. III. 408. A. Theaet. 167. A: *ὁ ... ἰατρὸς φαρμάκοις μεταβάλλει.* Crat. 405. A: *αἱ τοῖς ἰατρικοῖς φαρμάκοις ... περιθειώσεις.* Pol. III. 407. D: *φαρμάκοις τε καὶ τομαῖς τὰ νοσήματα ἐκβάλλοντα αὐτῶν.* V. 459. C. Phaedr. 270. B: *φάρμακα καὶ τροφὴν προσφέρων.* Gorg. 467. C: *οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν.* Pol. I. 332. C: *ἡ σώμασι φάρμακα* (*ἀποδιδοῦσα τέχνη*). In univ., ut Lat. *medicina*, est *remedium* et *subsidium*. Phaedr. 274. E: *μνήμης ... καὶ σοφίας φάρμακον εὑρέθη.* 230. D: *σὺ ... δοκεῖς μοι τῆς ἐμῆς ἐξόδου τὸ φάρμακον εὑρηκέναι.* 275. A: *ὑπομνήσεως φάρμακον εὗρες.* Polit. 310. A: *ἐπὶ τούτοις ... τοῦτ' εἶναι*

τέχνη φάρμακον. Pol. X. 595. B: ὅσοι μὴ ἔχουσι φάρμακον εἰδέναι αὐτὰ οἷα τυγχάνει ὄντα. Critia 106. D: φάρμακον ἡμῖν αὐτὸν τελεώτατον καὶ ἄριστον φαρμάκων, ἐπιστήμην, εὐχόμεθα διδόναι. Legg. I. 647. E: φόβου φάρμακον. XI. 919. B. Ep. VIII. 354. B: (ὃς) φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχήν. Phil. 54. B: γενέσεως ... ἕνεκα φάρμακά τε καὶ πάντα ὄργανα ... παρατίθεσθαι πᾶσιν. Ut Lat. *medicamentum*, est quoque *venenum* (Phaed. init. ἢ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ. 57. B. 63. D: ὁ μέλλων σοι δώσειν τὸ φάρμακον. 115. A. D.) et *color* vel *pigmentum*. Crat. 424. E: ὡς ἂν ... δοκῇ ἑκάστη ἡ εἰκὼν δεῖσθαι ἑκάστου φαρμάκου. Ib. ὁτιοῦν ἄλλο τῶν φαρμάκων. (434. A. pro φάρμακα codd. φαρμακεῖα scribunt, Cl. c. al. φαρμακείαι). Polit. 277. C: τὴν δὲ οἷον τοῖς φαρμάκοις καὶ τῇ συγκράσει τῶν χρωμάτων ἐνάργειαν οὐκ ἀπειληφέναι πω. Pol. IV. 420. C: ὅτι οὐ τοῖς καλλίστοις τοῦ ζώου τὰ κάλλιστα φάρμακα προστίθεμεν.

φαρμακοποσία, ἡ, *medicamenti potio*. Soph. 227. A: φαρμακοποσίας. Legg. I. 646. C: τοὺς εἰς τὰ ἰατρεῖα αὐτοὺς βαδίζοντας ἐπὶ φαρμακοποσίᾳ.

φάρμαξις, ἡ, *curatio*. Phil. 46. A: οὐκ ἄλλης δεόμενα φαρμάξεως.

φαρμάττω, *medicamentum adhibeo*. Legg. XI. 933. B: ὁποτέρως ἂν τις ἐπιχειρῇ φαρμάττειν. C. **fascino*. Men. 80. A: γοητεύεις με καὶ φαρμάττεις cet. Conv. 194. A: φαρμάττειν βούλει με.

φάσις, ἡ, (φαίνομαι), in stellis dicitur apparentibus. Locr. 97. B: φάσιάς τε καὶ κρυψίας καὶ ἐκλείψιας. Ib. φάσιας φανερὰς ἑῴας ἢ ἑσπερίας ἐκτελέοντι ποτὶ τὸν ἅλιον.

φάσις, ἡ, (φημί), *affirmatio*. Soph. 263. E: φάσιν τε καὶ ἀπόφασιν.

φάσκω, *dico, aio; pono, statuo*; etiam *prae me fero, profiteor, simulo; promitto*. Phaed. 113. C: φάσκουσι; sed Cl. cum plurimis al. libris λέγουσι. Gorg. 482. E: φάσκων τὴν ἀλήθειαν διώκειν. 486. A: φάσκων ἀδικεῖν μηδὲν ἀδικοῦντα. Theaet. 169. A. Phil. 49. B: γελοίους τούτους φάσκων εἶναι τἀληθῆ φθέγξει. Pol. I. 337. E: μὴ εἰδὼς μηδὲ φάσκων εἰδέναι. Ion. 541. E: φάσκων ἐπιδείξειν. Ep. III. 318. A: φάσκων ... ἀποπέμψειν. B. Theaet. 190. A: καὶ φάσκουσα καὶ οὐ φάσκουσα (*negans*). Charm. 165. B: ὡς φάσκοντος ἐμοῦ εἰδέναι περὶ ὧν ἐρωτῶ. Gorg. 519. E: ἀγαθὸν φάσκοντα πεποιηκέναι τινά. Phaed. 98. A: φάσκοντά γε ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι. Theaet. 167. E. Crat. 426. A: τὸν φάσκοντα περὶ αὐτῶν τεχνικὸν εἶναι. Legg. XII. 964. C: παιδευτὴν νέων φάσκοντ' εἶναι. Gorg. 519. C: φάσκοντες ... ἀρετῆς διδάσκαλοι εἶναι. Theaet. 194. C: οὐ φάσκοντες ἀγωνισταί, ἀλλὰ φιλόσοφοι εἶναι. Crat. 416. D: ἃ δὴ καλὰ φάσκοντες εἶναι ἀσπαζόμεθα. Pol. V. 453. C. Alc. I. 111. C: αἱ μὲν

(πόλεις) ταῦθ', αἱ δ' ἄλλα φάσκουσαι. Pol. VII. 538. A: ὅτι οὐ τούτων ἐστὶ τῶν φασκόντων γονέων. Legg. VI. 761. D: τῶν φίλων φασκόντων εἶναι. Apol. 41. A. Euthyd. 306. E. Theaet. 181. D: τοῖς τὰ πάντα φάσκουσι κινεῖσθαι. Tim. 40. E: ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν … πιστευτέον. Pol. VI. 489. D: διὰ τοὺς τὰ τοιαῦτα φάσκοντας ἐπιτηδεύειν. Legg. XI. 901. A: ὃν ὁ ποιητὴς κηφῆσι κοθούροισι μάλιστα εἴκελον ἔφασκεν εἶναι.

φάσμα, τό, *visum; simulacrum;* etiam *ostentum* s. *prodigium.* Polit. 268. E: τὸ περὶ τὴν Ἀτρέως τε καὶ Θυέστου λεχθεῖσαν ἔριν φάσμα. Conv. 179. D: φάσμα δείξαντες τῆς γυναικός. Theaet. 155. A: ἅττα ποτ' ἐστὶ ταῦτα τὰ φάσματα ἐν ἡμῖν. Tim. 71. E: ὅσα ἂν φάσματα ὀφθῇ cet. Legg. V. 738. C: φασμάτων γενομένων. X. 910: ἔν τε φάσμασιν ἐγρηγορότας διὰ φόβους καὶ ἐν ὀνείροις. Phaedr. 250. C: εὐδαίμονα φάσματα μυούμενοί τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ. Tim. 71. C: ὅτ' αὖ τὰ ἐναντία φάσματα ἀποζωγραφοῖ πραότητός τις ἐκ διανοίας ἐπίπνοια.

φάττα, ἡ, *palumbes.* Theaet. 199. B: τὴν ἐν ἑαυτῷ οἷον φάτταν ἀντὶ περιστερᾶς (λαβών).

φάτνη, ἡ, *praesepe.* Tim. 70. E: ἀεὶ νεμόμενον πρὸς φάτνῃ. Phaedr. 247. E: πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας. Tim. 70. E: οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τρόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι.

φαυλίζω, *detraho* (de *aliquo*). Legg. II. 667. A: οὐκ οἶδα ὑμῶν … ὅπῃ πάλιν αὖ τοὺς νομοθέτας φαυλίζεις.

φαῦλος, η, ον, *malus* (etiam *imperitus*); *pro nihilo putandus, vilis; mediocris* (c. neg., ut Lat. *non mediocris*). Prot. 327. C: πολλάκις μὲν ἀγαθοῦ αὐλητοῦ φαῦλος ἂν ἀπέβη, πολλάκις δ' ἂν φαύλου ἀγαθός. Gorg. 485. A: ὅπου δ' ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει cet. Conv. 174. C: ἴσως … κινδυνεύσω καὶ ἐγὼ … φαῦλος ὢν ἐπὶ σοφοῦ ἀνδρὸς ἰέναι θοίνην ἄκλητος. Phil. 30. C: αἰτία οὐ φαύλη. Conv. 175. E: ἡ μὲν γὰρ ἐμὴ (σοφία) φαύλη τις ἂν εἴη καὶ ἀμφισβητήσιμος. 215. C: φαύλη αὐλητρίς. Crat. 425. B: ἄλλως δὲ συνείρειν μὴ φαῦλον ᾖ καὶ οὐ καθ' ὁδόν. Apol. 41. A: ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; Hipp. mai. 286. E: φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν πρᾶγμα καὶ ἰδιωτικόν. (Id. Ion. 532. E.). Gorg. 486. B: κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ. 521. C: ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου. Soph. 223. B: οὐ γάρ τι φαύλης μέτοχόν ἐστι τέχνης τὸ νῦν ζητούμενον. Theaet. 151. E: κινδυνεύεις μέντοι λόγον οὐ φαῦλον εἰρηκέναι περὶ ἐπιστήμης. 152. D: ἐρῶ καὶ μάλ' οὐ φαῦλον λόγον. 194. A: τοξότην φαῦλον. Conv. 211. E: φαῦλον βίον. Phaedr. 276. E: παγκάλην λέγεις παρὰ φαύλην παιδιὰν … τοῦ ἐν λόγοις δυναμένου παίζειν. Pol. VII. 519. A: ὡς οὐ φαύλην ἔχον τὴν ὄψιν. Prot. 340. E: εἰ οὕτω φαῦλόν τί φησιν εἶναι τὴν ἀρετὴν ἐκτῆσθαι. Crat. 392. A:

φαῦλον ἡγεῖ τὸ μάθημα —; Tim. 71. D: κατορθοῦντες καὶ τὸ φαῦλον ἡμῶν. Alc. II. 141. A: εἰ δὲ τοῦτο φαῦλον ἡγήσαιο καὶ μὴ μέγα τι cet. Prot. 326. E: διὰ τί οὖν τῶν ἀγαθῶν πατέρων πολλοὶ υἱεῖς φαῦλοι γίγνονται; Phaedr. 242. C: ὥσπερ οἱ τὰ γράμματα φαῦλοι. Phaed. 69. C: κινδυνεύουσι ... οὐ φαῦλοί τινες εἶναι cet. (Id. Crat. 401. B.). Conv. 181. B: οὗτός ἐστιν (ὁ Ἔρως) ὃν οἱ φαῦλοι τῶν ἀνθρώπων ἐρῶσιν. Legg. XI. 922. D: ὁπόσοι περὶ ἐμὲ φαῦλοι καὶ ὅσοι ἀγαθοὶ γεγόνασι φανερῶς. Euthyd. 279. C: πάντες ... καὶ οἱ πάνυ φαῦλοι. Men. 96. D: κινδυνεύομεν ... ἐγώ τε καὶ σὺ φαῦλοί τινες εἶναι ἄνδρες. Soph. 227. A: τὰ περὶ τὰ ἐκτός, ἃ εἰπεῖν μὲν φαῦλα, ὅσα βαλανευτικὴ παρέχεται. Legg. IX. 876. A: δικαστήρια φαῦλα καὶ ἄφωνα. Prot. 327. B: τῶν ἀγαθῶν αὐλητῶν ... ἢ τῶν φαύλων (τοὺς υἱεῖς). Crat. 390. D: οὐδὲ φαύλων ἀνδρῶν οὐδὲ τῶν ἐπιτυχόντων (κινδυνεύει εἶναι). Theaet. 147. A: εἴ τις ἡμᾶς τῶν φαύλων τι καὶ προχείρων ἔροιτο cet. Pol. IV. 431. C: ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις. Theaet. 181. B: ἡμᾶς ... τι λέγειν φαύλους ὄντας. Pol. III. 405. A: μὴ μόνον τοὺς φαύλους τε καὶ χειροτέχνας cet. Phaedr. 261. B: οὐδὲν ἐντιμότερον τό γε ὀρθὸν περὶ σπουδαῖα ἢ περὶ φαῦλα γιγνόμενον. 278. C: (εἰ) λέγων αὐτὸς δυνατὸς τὰ γεγραμμένα φαῦλα ἀποδεῖξαι. Pol. VI. 496. A: οὐ νόθα καὶ φαῦλα (εἰκὸς γεννᾶν); X. 603. B: φαύλη ἄρα φαύλῳ ξυγγιγνομένη φαῦλα γεννᾷ ἡ μιμητική. Hipp. mai. 288. D: ὃς οὕτω φαῦλα ὀνόματα ὀνομάζειν τολμᾷ ἐν σεμνῷ πράγματι. Prot. 336. C: εἰ ... Πρωταγόρας ὁμολογεῖ φαυλότερος εἶναι Σωκράτους διαλεχθῆναι. Pol. V. 459. C: ἰατρὸν ... καὶ φαυλότερον ἐξαρκεῖν ἡγούμεθα εἶναι. Gorg. 483. C: ἀγαπῶσι γὰρ ... αὐτοὶ ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι ὄντες. Phaed. 65. B: πᾶσαι (αἰσθήσεις) γάρ που τούτων φαυλότεραί εἰσιν. Pol. V. 475. B: (ὅτι) ὑπὸ σμικροτέρων καὶ φαυλοτέρων τιμώμενοι ἀγαπῶσιν. Polit. 271. E: καθάπερ νῦν ἄνθρωποι ... ἄλλα γένη φαυλότερα αὐτῶν νομεύουσι. Crat. 429. A: φαυλότερα (ἔργα; oppos. καλλίω). Legg. IX. 874. E: καὶ ὁ φαυλότατος ... τῶν ἐπὶ νόμον τρεπομένων. Crit. 52. D: δοῦλος ὁ φαυλότατος. Legg. V. 746. D: τὸν τοῦ φαυλοτάτου δημιουργόν. Prot. 342. D: εἰ γάρ ἐθέλει τις Λακεδαιμονίων τῷ φαυλοτάτῳ συγγενέσθαι cet. Phaedr. 235. E: τοῦτο δὲ οἶμαι οὐδ' ἂν τὸν φαυλότατον παθεῖν συγγραφέα. Ep. VII. 329. A: ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν. Legg. X. 902. A: καθάπερ οἱ φαυλότατοι τῶν ἀνθρώπων λέγονται ποιεῖν. Prot. 337. E: ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. Pol. V. 459. D: τοὺς δὲ φαυλοτάτους ταῖς φαυλοτάταις τοὐναντίον (δεῖ συγγίγνεσθαι). **levis, facilis*. Theaet. 179. D: μάχη ... περὶ αὐτῆς οὐ φαύλη cet. Theaet. 147. C: φαῦλόν που καὶ ἁπλοῦν εἰπεῖν ὅτι cet. Crat. 390. D: κινδυνεύει ... εἶναι οὐ φαῦλον ... ἡ τοῦ ὀνόματος

θέσις. Conv. 213. C: ὡς ἐμοὶ ὁ τούτου ἔρως τοῦ ἀνθρώπου οὐ φαῦλον πρᾶγμα γέγονεν. Pol. II. 368. C: ὅτι τὸ ζήτημα ... οὐ φαῦλον, ἀλλ' ὀξὺ βλέποντος. VII. 527. D: τὸ δ' ἔστιν οὐ πάνυ φαῦλον, ἀλλὰ χαλεπὸν πιστεῦσαι ὅτι cet. Phaed. 95. E: οὐ φαῦλον πρᾶγμα ... ζητεῖς. Polit. 263. A: οὐ φαῦλον προστάττεις. Crat. 411. A: ἐγείρεις ... οὐ φαῦλον γένος ὀνομάτων. Pol. II. 374. E: οὐκ ἄρα φαῦλον πρᾶγμα ἠράμεθα. IV. 435. C: εἰς φαῦλόν γε αὖ ... σκέμμα ἐμπεπτώκαμεν περὶ ψυχῆς cet. Soph. 218. E: περί τινος τῶν φαύλων μετιόντες.

φαυλότης, ἡ, *pravitas.* Legg. I. 646. B: εἰ δεῖ ἑκόντα ποτὲ ἄνθρωπον εἰς ἅπασαν φαυλότητα ἑαυτὸν ἐμβάλλειν. **tenuitas.* Legg. V. 745. D: τὸ νῦν δὴ λεγόμενον φαυλότητός (περὶ φ.?) τε καὶ ἀρετῆς χώρας. **inscientia, imperitia.* Theag. 130. C: οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Hipp. mai. 286. D: καὶ ἐγὼ διὰ τὴν ἐμὴν φαυλότητα ἠπορούμην cet.

φαύλως, *male, perperam, haud probe.* Phaed. 86. D: καὶ γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. Theaet. 173. C: τούς γε φαύλως διατρίβοντας ἐν φιλοσοφίᾳ. Phil. 43. A: καὶ δοκοῦσί γε οὐ φαύλως λέγειν. Legg. VII. 820. A: φαύλως (διακεῖσθαι). VIII. 839. E: εὖ τὸ σῶμα ἔχων καὶ μὴ ἰδιωτικῶς ἢ φαύλως. XII. 966. E: ὁ ... ἰδὼν ταῦτα μὴ φαύλως μηδ' ἰδιωτικῶς. Lys. 214. A: οὐ φαύλως ἀποφαινόμενοι περὶ τῶν φίλων οἳ τυγχάνουσιν ὄντες. Ep. VII. 343. D: ἡ τῶν τεττάρων φύσις ἑκάστου πεφυκυῖα φαύλως. Legg. IX. 876. D: ἃ καὶ φαυλοτέρως ἂν πεπαιδευμένοι δικασταὶ δύναιντο κατιδεῖν. Eryx. 405. D: ὅταν ἄρα αὐτοὶ αὑτῶν τυγχάνωμεν φαυλότατα διακείμενοι, τότε cet. **simpliciter.* Theaet. 147. C: ἐξὸν φαύλως καὶ βραχέως ἀποκρίνασθαι. Pol. V. 449. C: εἰπὼν αὐτὸ φαύλως ὡς ἄρα cet. Legg. XI. 929. A: μὴ φαύλως οὕτως ἐξέστω μηδ' εὐθὺς τοῦτο δρᾶν.

φέβεσθαι, *fugere.* Lach. 191. B. (Hom.).

φέγγος, τό, *splendor; lumen.* Phaedr. 250. B: οὐκ ἔνεστι φέγγος οὐδὲν ἐν τοῖς τῇδε ὁμοιώμασιν. Pol. VI. 508. C: ὧν (τὰς χρόας) νυκτερινὰ φέγγη (ἐπέχει).

φείδομαι, *parco; abstineo.* Pol. V. 469. B: τοῦ Ἑλληνικοῦ γένους φείδεσθαι. Phaed. 117. A: γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ὄντος. Phil. 15. E: φειδόμενος οὔτε πατρὸς οὔτε μητρὸς cet. Pol. VIII. 553. C: κατὰ σμικρὸν φειδόμενος. (Gorg. 485. D. μὴ φειδόμενον ex interpretatione videtur fluxisse). Phil. 55. C: (μὴ) τοῦ ... καὶ ἐπιστήμης οἷον φειδόμενοι σφόδρα φανῶμεν. Phaed. 78. A: μήτε χρημάτων φειδομένους μήτε πόνων. Id. Lach. 201. A. Menex. 242. C: ἐφείσαντο καὶ ἀπέδοσαν (τοὺς ἡγεμόνας Λακεδαιμονίους). Phil. 16. A: ἐπεὶ βαρβάρων γε οὐδενὸς ἂν φείσαιτο cet. Apol. 31. A: φείσεσθέ μου. **caveo.* Pol.

VIII. 574. B: ἆρ' εὐλαβηθείη ἂν καὶ φείσαιτο μή τι δρᾶσαι τῶν τυραννικῶν; *cesso. Legg. V. 732. D: μηδὲν φειδόμενον, ἀλλ' ἀεὶ ... ἀναμιμνήσκοντα ἕτερόν τε καὶ ἑαυτὸν σαφῶς.

φειδωλία, ἡ, *parsimonia.* Pol. IX. 572. C: μίσει τῆς τοῦ πατρὸς φειδωλίας.

φειδωλός, ή, όν, *parcus.* Pol. VIII. 554. A: τῷ γε φειδωλὸς εἶναι καὶ ἐργάτης. 554. E. Legg. IV. 719. E: φειδωλὸς ... τις καὶ πένης ἀνήρ. V. 743. B. Pol. VIII. 558. D: τοῦ φειδωλοῦ ἐκείνου καὶ ὀλιγαρχικοῦ cet. IX. 572. C: ὑπὸ φειδωλῷ πατρὶ τεθραμμένος. VIII. 560. C: τῷ φειδωλῷ αὐτοῦ τῆς ψυχῆς. 555. A: τὸν φειδωλόν τε καὶ χρηματιστήν. 559. C. 548. E: φειδωλοὶ χρημάτων. Phaedr. 256. E: θνητά τε καὶ φειδωλὰ οἰκονομοῦσα.

φειδωλῶς, *parce.* Pol. VIII. 559. D: τεθραμμένος ... ἀπαιδεύτως τε καὶ φειδωλῶς.

φελλός, ὁ, *cortex* (suberis). Polit. 288. E: φελλῶν καὶ βίβλων καὶ δεσμῶν ἐργαστικαί.

φέρβω, *alo.* Critia 115. A: ἔφερβεν εὖ.

φέριστος, η, ον, *optimus.* Phaedr. 238. D: εἶεν, ὦ φέριστε, ὃ μὲν cet.

φέρω, *fero, porto.* Legg. XI. 914. B: ἂν ... τις ... ἀναιρούμενος οἴκαδε φέρῃ. Phaedr. 279. C: ὅσον (πλῆθος) μήτε φέρειν μήτε ἄγειν δύναιτ' ἄλλος ἢ ὁ σώφρων. (Pol. II. 359. E. χρυσοῦν δακτύλιον φέρειν vulgo legitur, sed v. φέρειν a libris fere omnibus abest). Pol. II. 363. D: κοσκίνῳ ὕδωρ ἀναγκάζουσι φέρειν. V. 470. A: πρὸς ἱερὸν τὰ τοιαῦτα ἀπὸ τῶν οἰκείων φέρειν. 469. E: οὐδὲ ... πρὸς τὰ ἱερὰ τὰ ὅπλα οἴσομεν ὡς ἀναθήσοντες. 460. C: οἴσουσι παρά τινας τροφοὺς cet. Theaet. 142. A: Θεαιτήτῳ ἐνέτυχον φερομένῳ ἐκ Κορίνθου ἀπὸ στρατοπέδου Ἀθήναζε. **fero,* i. q. *perfero, tolero* (c. adv., ut Lat. *graviter ferre*); *sustineo.* Phaed. 63. A: ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων καὶ ἄρχοντας ἀγαθούς. Tim. 91. C: χαλεπῶς ἀγανακτοῦν φέρει. Legg. VI. 768. A: χαλεπῶς ἂν ἐν δίκῃ φέροιεν ἄμοιροι γενόμενοι τῶν τοιούτων διακρίσεων. Phaed. 115. E: ἵνα Κρίτων ῥᾷον φέρῃ. Phaedr. 241. A: τὴν ... ξυνουσίαν ἐπίπονον οὖσαν φέρειν δι' ἐλπίδα ἀγαθῶν. 252. C: φέρειν τὸ ... ἄχθος. Phaed. 116. C: πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. Pol. I. 329. E: ἡγεῖσθαί σε ῥᾳδίως τὸ γῆρας φέρειν. Critia 121. B: τὰ παρόντα φέρειν ἀδυνατοῦντες. Legg. III. 691. C: ἥτις ποτὲ δυνήσεται τὴν μεγίστην ἐν ἀνθρώποις ἀρχὴν φέρειν. Menex. 247. C: ὡς ῥᾷστα φέρειν τὴν ξυμφοράν. Pol. V. 474. E: εὐχερῶς φέροντος τὴν ὠχρότητα. Gorg. 522. E: εὖ οἶδα ὅτι ῥᾳδίως ἴδοις ἄν με φέροντα τὸν θάνατον. Menex. 247. D: φέροντες ... ἀνδρείως τὰς συμφοράς. Pol. I. 330. A: (τοῖς) χαλεπῶς ... τὸ γῆρας φέρουσιν. Critia 120. E: ῥᾳδίως ἔφερον οἷον ἄχθος τὸν τοῦ χρυσοῦ ... ὄγκον. Crit. 43. C: ἣν ἐγὼ ... ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι. Pol.

I. 330. A: ὅτι οὔτ' ἂν ὁ ἐπιεικὴς πάνυ τι ῥᾳδίως γῆρας μετὰ πενίας ἐνέγκοι cet. VI. 503. E: εἰ καὶ τὰ μέγιστα μαθήματα δυνατὴ ἔσται ἐνεγκεῖν. Apol. 37. C: ὅτι ὑμεῖς ... οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς διατριβὰς καὶ τοὺς λόγους. Pol. X. 603. E: ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων. Polit. 257. C: ῥᾷον οἴσετον πάντα πόνον. Apol. 37. C: ἄλλοι ... αὐτὰς (τὰς ἐμὰς διατριβὰς) οἴσουσι ῥᾳδίως. **fero*, i. e. *duco* (de via al.); etiam *moveo*; unde pass. Lat. *ferri*, i. q. *agitari*, *volvi*, *ruere*, *abripi*, *deferri* al. Pol. II. 365. D: ταύτῃ ἰτέον, ὡς τὰ ἴχνη τῶν λόγων φέρει. IV. 444. E: ἆρ' οὖν οὐ καὶ τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει —; Legg. III. 694. C: φέρει ... ἡμῖν σκέψιν τοῦτο ἐφ' ὅπερ ὡρμήκαμεν. VIII. 831. C: ὅ τι ... πρὸς τοῦτο φέρει μάθημα cet. Gorg. 524. A: ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς Τάρταρον. Pol. III. 394. D: ὅπῃ ἂν ὁ λόγος ὥσπερ πνεῦμα φέρῃ, ταύτῃ ἰτέον. VIII. 553. D: ἐάν τι ἄλλο εἰς τοῦτο φέρῃ. Alc. II. 142. B: πόνοι φέροντες εἰς ὠφέλειαν. Menex. 247. E: πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα. Phaedr. 250. E: οὐκ ὀξέως ἐνθένδε ἐκεῖσε φέρεται πρὸς αὐτὸ τὸ κάλλος. 254. B: βίᾳ φέρεται. 263. A: οὐκ ἄλλος ἄλλῃ φέρεται —; Pol. VII. 529. D: ἃς τὸ ὂν τάχος καὶ ἡ οὖσα βραδύτης ... φοράς τε πρὸς ἄλληλα φέρεται καὶ τὰ ἐνόντα φέρει. Tim. 80. A: ὅσα ἐπὶ γῆς φέρεται. Phil. 13. E: πάλιν εἰς τὸν αὐτὸν φερόμεθα λόγον. Phaed. 114. B: φέρονται αὖθις εἰς τὸν Τάρταρον. Theaet. 144. A: ᾄττοντες φέρονται ὥσπερ τὰ ἀνερμάτιστα πλοῖα. Pol. VI. 503. C. IX. 586. A: μέχρι πάλιν πρὸς τὸ μεταξὺ φέρονται. Dem. 382. B: αἱ ... ψῆφοι φέρονται ὡς οὐ ξυμβούλων δεομένων. Parm. 138. C: εἰ φέροιτο τὸ ἕν. Pol. IX. 584. E: ὅταν ... ἐπὶ τὸ λυπηρὸν φέρωνται. Crat. 411. B: πάντως φέρεσθαι (τὰ πράγματα). C: ῥεῖν καὶ φέρεσθαι. Pol. IX. 584. D: ἄνω φέρεσθαι. Phaed. 98. B: ἀπὸ δὴ θαυμαστῆς ... ἐλπίδος ᾠχόμην φερόμενος. Phaedr. 255. C: πολλὴ φερομένη (πηγὴ) πρὸς τὸν ἐραστήν. Pol. VI. 496. D: οἷον ἐν χειμῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου. IX. 584. D: ἐκ τοῦ κάτω φερόμενον πρὸς μέσον. Theaet. 177. C: τοὺς τὴν φερομένην οὐσίαν λέγοντας. Pol. VI. 492. C: ἣν (παιδείαν) οὐ ... οἰχήσεσθαι φερομένην κατὰ ῥοῦν ᾗ ἂν οὗτος φέρῃ. Tim. 44. A: ἔξωθεν αἰσθήσεις τινὲς φερόμεναι. Ep. VII. 328. B: πολλάκις ἑαυταῖς ἐναντίαι φερόμεναι (ἐπιθυμίαι). Phaed. 99. A: ὑπὸ δόξης φερόμενα τοῦ βελτίστου. Epin. 983. A: πάντα ... τὰ φερόμενα ἄστρα. Polit. 310. A: ἐπὶ τἀναντία φερομένων (ἀρετῆς μερῶν). Crat. 404. D: φερομένων τῶν πραγμάτων. Tim. 38. A: τοῖς ἐν αἰσθήσει φερομένοις. 36. D: ἐν λόγῳ ... φερομένους (κύκλους). Epin. 986. B: εἴτε αὐτοὺς ἰόντας εἴτε φερομένους ἐν ὀχήμασι. Legg. VII. 814. B: εὐθὺς πρὸς ἱερὰ φερομένας. Soph. 249. B: ἐὰν αὖ φερόμενα καὶ κινούμενα πάντ' εἶναι

συγχωρῶμεν. Legg. XII. 967. C: *τὰ κατ᾽ οὐρανὸν φερόμενα.* Conv. 190. A: *ταχὺ ἐφέροντο κύκλῳ.* Tim. 43. A: *βίᾳ δ᾽ ἐφέροντο καὶ ἔφερον.* Ep. VII. 348. B: *οἱ δ᾽ ἐφέροντο εὐθὺς πρὸς τὰ τείχη.* Pol. IX. 584. D: *ὅθεν ἐνήνεκται.* Phaedr. 254. B: *τοῦ ἡνιόχου ἡ μνήμη πρὸς τὴν τοῦ κάλλους φύσιν ἠνέχθη.* Pol. IX. 586. A: *πρὸς τὸ ἀληθῶς ἄνω ... οὔτε ἠνέχθησαν.* Tim. 63. A: *εἰς οὐδὲν ἄν ποτε τῶν ἐσχάτων ἐνεχθείη.* Parm. 138. D: *τίς μηχανὴ τοῦτο κύκλῳ ποιὲ ἐπὶ τοῦ μέσου ἐνεχθῆναι;* Tim. 87. A: *πρὸς ... τοὺς τρεῖς τόπους ἐνεχθέντα τῆς ψυχῆς.* — Pass., ut Lat. *ferri* et *circumferri*, etiam in eo dicitur quod celebratur (aut laudatur aut vituperatur). Ep. VII. 328. E: *ἣν (φιλοσοφίαν) ἀτίμως φὴς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι.* — Med. Eryx. 395. B: *οὓς (πεττοὺς) εἴ τις φέροιτο* cet. — Celeritatis notio, quae in pass. *φέρεσθαι* eminet, etiam in imperativo *φέρε* conspicitur, qui, ut Lat. *age*, exhortandi vim habet (germ. *wohlan*). Prot. 330. B: *φέρε δὴ ... κοινῇ σκεψώμεθα* cet. Gorg. 455. A: *φέρε δὴ ἴδωμεν* (v. *φέρε δή, ἴδωμεν*) cet. 514. D: *φέρε πρὸς θεῶν αὐτὸς δὲ ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν;* Phaed. 63. B: *φέρε δὴ ... πειραθῶ* cet. Theaet. 151. E: *ἀλλὰ φέρε δὴ αὐτὸ κοινῇ σκεψώμεθα* cet. Soph. 229. A: *φέρε δὴ διδασκαλικῆς δὲ ἆρα ἓν μόνον γένος φατέον εἶναι, ἢ πλείω —;* Crat. 385. B: *φέρε δή μοι τόδε εἰπέ.* Polit. 294. D: *φέρε νῦν ἀναλάβωμεν πάλιν μνήμῃ τὰς ... ἐπιτάξεις* cet. Pol. I. 347. C: *φέρε δὴ τὸ τοιόνδε περὶ αὐτῶν πῶς λέγεις;* V. 453. E: *φέρε δὴ ... ἐάν πῃ εὕρωμεν τὴν ἔξοδον.* Legg. I. 633. C: *τὴν ἀνδρείαν δὲ φέρε τί θῶμεν;* VII. 805. D: *φέρε ... μῶν οὐκ ἀνάγκη γενέσθαι γέ τινα τάξιν ἑτέραν αὐταῖς;* De lege 315. E: *φέρε δὴ σὺ πότερα νομίζεις τὰ δίκαια ἄδικα εἶναι —;* al. Similiter part. *φέρων* ponitur ita ut verti possit *protinus*, *statim*. Pol. I. 345. B: *ἢ εἰς τὴν ψυχὴν φέρων ἐνθῶ τὸν λόγον;* Hipp. mai. 282. E: *καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῷ πατρὶ ἔδωκα.* — Est etiam *calculum movere* vel *ducere*, *suffragia ferre* et *suffragiis creare.* Legg. VI. 766. B: *φερόντων ψῆφον κρύβδην.* Pol. VI. 486. C: *οὐκ ἔχουσιν ὅ τι φέρωσιν* (*quem calculum moveant*). Legg. VI. 767. D: *τὴν ... ψῆφον φανερὰν φέρειν.* Dem. 380. A: *ἣν (ψῆφον) φέρειν ἕκαστος ὑμῶν διανοεῖται.* 381. C. Legg. IX. 856. A: *ψῆφον ἱερὰν ἕκαστον φέροντα.* Hinc *φέρειν* abs. est *creare.* Legg. VI. 753. D: *τὴν δὲ πόλιν ὡσαύτως ἐκ τούτων φέρειν πάλιν ὃν ἂν ἕκαστος βούληται.* 756. C. D. E. 753. D: *φερέτω.* 759. D: *φερέτωσαν.* XII. 949. A: *ἀφ᾽ ἱερῶν φέροντα.* XII. 946. A: *τῶν ... προκριθέντων οὓς ἂν πλεῖστοι ἐνέγκωσι.* VI. 756. D: *ἐὰν ἐνεγκεῖν μὴ βούληται.* 755. A: *φερέσθω ... εἰς τὴν ἀρχὴν* cet. 756. C: *ἐπειδὰν δ᾽ ἐνεχθῶσι* cet. **fero*, h. e. *edo*, *produco.* Critia 118. E: *ὅσα γῆ φέρει.* Legg. V. 743. D: *ὅσα γεωργία δίδωσι καὶ φέρει.* Critia 115. B: *πώματα καὶ βρώματα ...*

φέρων. 114. E: πάντα φέρουσα ἄφθονα. Polit. 266. E: φέροντα τὸν πολιτικὸν καὶ βασιλικὸν ... παραδοῦναι τὰς τῆς πόλεως ἡνίας. Critia 111. A: τότε ... παμπληθῆ ταῦτα ἔφερε. C: νομὴν ... βοσκήμασιν ἀμήχανον ἔφερε. Tim. 24. C: ὅτι φρονιμωτάτους ἄνδρας οἴσοι. D: τὸν προσφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄνδρας. Etiam *profero*. Epin. 973. C: πολλοὶ ... τὸν αὐτὸν λόγον φέρουσιν ὡς cet. Ep. VIII. 353. E: ἐνεγκὼν εἰς τὸ μέσον. *(act. et med.) *fero*, h. e. *accipio, consequor*. Pol. V. 468. C: πρὸς τὸ τἀριστεῖα φέρειν. Legg. II. 657. E: τὰ νικητήρια φέρειν. 671. E: ἴσην καὶ μείζω τὴν αἰσχύνην φέρειν. Hipp. mai. 304. B: οἴχεσθαι φέροντα οὐ τὰ σμικρότατα, ἀλλὰ τὰ μέγιστα τῶν ἄθλων. Phaedr. 256. D: ὥστε οὐ σμικρὸν ἆθλον τῆς ἐρωτικῆς μανίας φέρονται. Phaed. 113. D: τῶν ... εὐεργεσιῶν τιμὰς φέρονται cet. Pol. X. 613. C: τὰ ἆθλα παρὰ τῶν ἀνθρώπων φέρονται. Phaedr. 245. B: φερέσθω τὰ νικητήρια. Legg. XI. 917. D: ὁ ... δοῦλος φερέσθω τὸ κιβδηλευθέν. VI. 762. A: ὀνείδη φερέσθωσαν ἐν πάσῃ τῇ πόλει. Pol. III. 406. B: καλὸν ... τὸ γέρας ... τῆς τέχνης ἠνέγκατο. Ion. 530. A: τὰ πρῶτα τῶν ἄθλων ἠνεγκάμεθα. Ep. II. 312. C: πρὸς πολλῶν εὐδοξίαν σοι οἴσει ὡς φιλοσόφῳ ὄντι. Pol. VII. 537. B: τιμὰς ... μείζους τῶν ἄλλων οἴσονται. Phaed. 64. A: ἐκεῖ μέγιστα οἴσεσθαι ἀγαθά. Euthyd. 305. D: παρὰ πᾶσι τὰ νικητήρια εἰς δόξαν οἴσεσθαι σοφίας πέρι (ἡγοῦνται). *affero, apporto*. Phaed. 88. B: ἡ τῇ ψυχῇ φέρει ὄλεθρον. Conv. 184. E: ἐπὶ ... τοῖς ἄλλοις πᾶσι καὶ ἐξαπατωμένῳ αἰσχύνην φέρει καὶ μή. Pol. IX. 581. D: ὅ τι μὴ μάθημα τιμὴν φέρει. Menex. 246. E: οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετ' ἀνανδρίας cet. Ion. 534. B: ὅτι ... τὰ μέλη ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται. Conv. 213. E: φέρε ... τὸν ψυκτῆρα ἐκεῖνον. Ib. φερέτω. Legg. VIII. 835. B: οὐδ' αὖ μετατιθέμενα ... μέγα τῇ πόλει κέρδος ἢ ζημίαν ἂν φέροι. VII. 817. A: τὴν ποίησιν φέρωμέν τε καὶ ἄγωμεν —; IV. 721. D: κέρδος καὶ ῥᾳστώνην φέρειν. Crit. 43. C: ἀγγελίαν ... φέρων χαλεπήν. Soph. 245. E: μείζω ... φέρον ... πλάνην. Legg. VII. 811. B: κίνδυνόν φημι εἶναι φέρουσαν τοῖς παισὶ τὴν πολυμαθίαν. Conv. 188. A: ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγίειαν ἀνθρώποις cet. Phaed. 116. B: (ἐπειδὴ) ἠνέχθη παρ' αὐτὸν τὰ παιδία. Tim. 21. C: ὃν (λόγον) ἀπ' Αἰγύπτου δεῦρο ἠνέγκατο. *aufero, arripio*. Pol. IX. 574. A: ἀναγκαῖον ... πανταχόθεν φέρειν. Legg. VI. 762. A: ἐπιχειροῦντες λαμβάνειν τε καὶ φέρειν τῶν ἐν ταῖς γεωργίαις μὴ πείσαντες. X. 884: τῶν ἀλλοτρίων μηδένα μηδὲν φέρειν μηδὲ ἄγειν. 885. A: ὅταν ... τις τῶν ἀρχόντων ἄγῃ ἢ φέρῃ ἢ χρῆται τινι τῶν ἐκείνων μὴ πείσας αὐτούς. *refero*, ut gratiam, et in univ. *persolvo, pendo*. Polit. 298. A: προστάττοντες ἀναλώματα φέρειν παρ' ἑαυτοὺς οἷον φόρους. Tim. 21. C: εἴτε

καὶ χάριν τινὰ τῷ Κριτίᾳ φέρων. **specto, pertineo, convenio.* Pol. VII. 538. C: *πῇ πρὸς τοὺς ἁπτομένους τῶν λόγων αὕτη φέρει ἡ εἰκών;* Legg. II. 670. E: *τῆς ἐπὶ τὸ πλῆθος φερούσης (παιδείας).* Etiam *conduco.* Pol. V. 449. D: *μέγα γάρ τι οἰόμεθα φέρειν καὶ ὅλον εἰς πολιτείαν ὀρθῶς ἢ μὴ ὀρθῶς γιγνόμενον.* — Cum praep. *εἰς* est *inferre,* cum praep. *ἐπί referre* (germ. *beziehen*), *conferre*, *transferre* al. Pol. V. 478. B: *οὐχ ὁ δοξάζων ἐπὶ τὶ φέρει τὴν δόξαν;* Soph. 237. C: *οὐκοῦν ... οὐδ' ἐπὶ τὸ τὶ φέρων ὀρθῶς ἄν τις φέροι;* Charm. 163. D: *δῆλον ... μόνον ἐφ' ὅ τι φέροις τοὔνομα ὅ τι ἂν λέγῃς.* Soph. 250. D: *ἐφ' ὅ τί ποτε δεῖ φέρειν.* Tim. 37. E: *ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν οὐκ ὀρθῶς.* Critia 120. A: *τὰ δ' ἄλλα εἰς τὸ πῦρ ἔφερον.* Pol. V. 477. E: *δόξαν εἰς δύναμιν ἢ εἰς ἄλλο εἶδος οἴσομεν;* Critia 120. C: *μήτε ποτὲ ὅπλα ἐπ' ἀλλήλους οἴσειν.* Verb. Soph. 237. C: *ὅτι τῶν ὄντων ἐπί τι τὸ μὴ ὂν οὐκ οἰστέον.*

φεῦ, *hem* (admirantis exclamatio). Phaedr. 263. D: *φεῦ ὅσῳ λέγεις τεχνικωτέρας νύμφας τὰς Ἀχελώου ... Λυσίου ... πρὸς λόγους εἶναι.* 273. C: *φεῦ δεινῶς γ' ἔοικεν ἀποκεκρυμμένην τέχνην ἀνευρεῖν ὁ Τισίας* cet. Hipp. mai. 287. B: *φεῦ ὡς εὖ λέγεις.*

φεύγω, *fugio*, *effugio; vito*, *aversor; recuso.* Gorg. 485. A: *ἐντεῦθεν φεύγει καὶ λοιδορεῖ τοῦτο.* Phaed. 65. D: *φεύγει ἀπ' αὐτοῦ (τοῦ σώματος).* Epin. 974. B: *φυγῇ φεύγει.* Prot. 354. C: *τὴν ... λύπην φεύγετε ὡς κακόν.* Pol. VIII. 568. A: *οἱ δ' ἐπιεικεῖς μισοῦσί τε καὶ φεύγουσι.* Legg. IV. 706. C: *φεύγουσι δή τινας οὐκ αἰσχρὰς ... φυγάς.* IX. 854. C: *τὰς ... τῶν κακῶν ξυνουσίας φεῦγε ἀμεταστρεπτί.* Phaed. 62. E: *διὸ ἀλογίστως ἂν φεύγοι.* 63. A: *τί γὰρ ἂν βουλόμενοι ... δεσπότας ἀμείνους αὐτῶν φεύγοιεν —;* Prot. 338. A: *φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων.* Theaet. 176. A: *ἐνθένδε ἐκεῖσε φεύγειν.* Pol. X. 619. A: *φεύγειν τὰ ὑπερβάλλοντα ἑκατέρωσε.* Legg. I. 636. E: *τὰς ἡδονὰς φεύγειν.* Ep. VIII. 354. A: *φεύγειν ... τοὔνομά τε καὶ τοὖργον τοῦτο.* C: *φεύγειν φυγῇ ἀπλήστως πεινώντων εὐδαιμόνισμα ἀνθρώπων.* Conv. 195. B: *φεύγων φυγῇ τὸ γῆρας.* 216. A: *βίᾳ ... οἴχομαι φεύγων.* Hipp. mai. 292. A: *ἂν μὴ ἐκφύγω φεύγων αὐτόν.* Legg. IX. 875. B: *φεύγουσα ... ἀλόγως τὴν λύπην.* Pol. VIII. 549. C: *φεύγοντος τάς τε τιμὰς καὶ ἀρχὰς* cet. X. 620. B: *φεύγουσαν (ψυχὴν) ἄνθρωπον γενέσθαι.* Gorg. 479. B: *οἱ τὴν δίκην φεύγοντες* (*effugere studentes*). Legg. VI. 762. B: *εἰς ἕτερον ἀεὶ τόπον φεύγοντες.* Legg. X. 886. E: *(ἐν ἀνθρώποις) φεύγουσι* (*nos aversantibus*) *περὶ τῆς νομοθεσίας.* Ep. VIII. 354. D: *φεύγουσι τὸν δούλειον ζυγὸν ὡς ὂν κακόν.* Conv. 221. C: *τοὺς προτροπάδην φεύγοντας διώκουσι.* Euthyd. 302. B: *ἄπορόν τινα στροφὴν ἔφευγόν τε καὶ ἐστρεφόμην ἤδη.* Hipp. mai. 283. D: *ἆρ' οὖν χρημάτων ἐνδείᾳ ἔφευγον τὴν σὴν ὁμιλίαν;* Alc. I.

103. B: οὐδεὶς ὃς οὐχ ... πέφευγε. 104. C: τῶν ἄλλων πεφευγότων. Prot. 318. E: τὰς ... τέχνας αὐτοὺς πεφευγότας πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τέχνας. Ep. III. 316. B: ὡς εἰκότως σοι ἔφυγον κοινωνεῖν περὶ τὰ τῆς πόλεως πράγματα. Apol. 26. A: διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας. Legg. IV. 708. B: ἤδη δέ ποτε καὶ ξυνάπασα πόλις τινῶν ἔφυγεν. Hipp. min. 363. D: νῦν δὲ τὴν Σωκράτους ἐρώτησιν φύγοιμι. Lach. 184. C: οὐκ ἔσθ' ὅπως ἄν τις φύγοι τὸ καταγέλαστος γενέσθαι. Legg. IX. 855. A: ἐὰν φύγωσι τὰ πατρῷα ἤθη. Tim. 86. C: σπεύδων τὸ μὲν ἑλεῖν ἀκαίρως, τὸ δὲ φυγεῖν. 87. B: φυγεῖν ... κακίαν. Legg. VIII. 832. E: φυγεῖν ... καὶ ἑλεῖν. Pol. IX. 587. C: φυγὼν νόμον τε καὶ λόγον. Legg. VI. 767. D: τοῖς τἆλλα δικαστήρια φυγοῦσι. Apol. 29. B: οὐδὲ φεύξομαι. Clit. 407. A. Crit. 53. C: πότερον ... φεύξει τὰς ... εὐνομουμένας πόλεις —; Euthyd. 307. B. Pol. IX. 592. A: φεύξεται. Legg. I. 635. B: εἴ τις ἐκ παίδων φευξεῖται διὰ τέλους. Theaet. 181. A: φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὐτῶν καὶ τὰ ἀκίνητα κινούντων. 168. A: φεύξονται ἀφ' ἑαυτῶν εἰς φιλοσοφίαν. Legg. I. 635. C: φευξεῖσθαι τοὺς ἐν ἐκείνοις γεγυμνασμένους. Gorg. 507. D: ἀκολασίαν ... φευκτέον. Phaed. 62. D: φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου. Theaet. 167. D. Pol. II. 358. A. — Cum v. γραφὴν vel δίκην et absolute est *accusari, reum agi* et *accusatum esse*. Euth. 6. A: οὗ ἕνεκα τὴν γραφὴν φεύγω. 3. E: φεύγεις αὐτὴν (τὴν δίκην), ἢ διώκεις; Pol. III. 405. B: φεύγων τε καὶ διώκων. Legg. VI. 754. E: ἐὰν δ' ὁ φεύγων ὄφλῃ cet. 768. A. XII. 948. A. 956. B. IX. 855. D: κατὰ τὸ στόμα τοῦ διώκοντός τε καὶ φεύγοντος. XI. 929. B. IX. 855. E: τὸν ... φεύγοντα. Apol. 35. D: ἀσεβείας φεύγοντα ὑπὸ Μελίτου τουτουΐ. Euth. 8. C: φεύγοντες τὴν δίκην. Apol. 19. C: μήπως ἐγὼ ὑπὸ Μελίτου τοσαύτας δίκας φύγοιμι. **exsulo* s. *exsilio multor* vel *multatus sum*. Legg. IX. 867. C: δύο ... ἔτη φευγέτω. D. 871. D: φευγέτω ἀειφυγίαν. Id. 877. C. E: (ὅταν) ἐν ἀειφυγίᾳ τις φεύγῃ. C: τὸν φεύγοντα. Euthyd. 271. C: φεύγοντες ... ἐκεῖθεν. Legg. IX. 867. E: τὰς τῶν φευγόντων πράξεις. Ep. VII. 325. C: τῶν τότε φευγόντων φίλων. Menex. 242. B: τοὺς ἀδίκως φεύγοντας δικαίως κατήγαγον. Legg. IX. 867. D: καθάπερ ἅτερος ἔφευγε τὰ δύο (ἔτη). 868. A: φυγὼν μηκέτι κατέλθῃ. 871. D.

φευκτός, ή, όν, *fugiendus*. Ax. 369. B: οὐ φευκτάς (τὰς λοιπὰς ἐπιτηδεύσεις ἐννοήσομεν);

φηγός, ἡ, *glans*. Pol. II. 372. C: μύρτα καὶ φηγοὺς σποδιοῦσι πρὸς τὸ πῦρ.

φήμη, ἡ, *fama, rumor*: *effatum* vel *narratio antiquitus tradita*. Tim. 27. B: ἡ τῶν ἱερῶν γραμμάτων φήμη. Pol. III. 415. D: τοῦτο ... ἕξει, ὅπῃ ἂν αὐτὸ ἡ φήμη ἀγάγῃ. Legg. II. 672. B: λόγος τις ἅμα καὶ φήμη ὑποῤῥεῖ πῶς ὡς cet.

XI. 932. A: εἰ ... τινὰ κατέχοι φήμη κωφὴ τῶν τοιούτων προοιμίων. Apol. 20. C: οὐ γὰρ δήπου σοῦ γε ... τοσαύτη φήμη τε καὶ λόγος γέγονεν, εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί. De lege 320. D: διὰ τί ... ποτε ... αὕτη ἡ φήμη κατεσκέδαται τοῦ Μίνω ὡς ἀπαιδεύτου τινὸς ... ὄντος; Crat. 359. E: ἡ τύχη τῆς φήμης. Legg. VIII. 838. C: ὅτι τὸ τῆς φήμης θαυμαστήν τινα δύναμιν εἴληχεν. Epin. 988. A: δικαιότερον ... τῆς ἐκ τῶν βαρβάρων ἐλθούσης φήμης τε ἅμα καὶ θεραπείας πάντων τούτων τῶν θεῶν ἐπιμελήσεσθαι τοὺς Ἕλληνας. 992. A. Legg. VI. 771. C: πιστεύσαντες ... τῇ παρούσῃ φήμῃ καὶ λόγῳ. Polit. 309. E: (ἆρ' οὐκ) ἐπονείδιστόν τινα εὐηθείας δικαιότατα λαμβάνει φήμην; Phil. 16. C: οἱ ... παλαιοὶ ... ταύτην φήμην παρέδοσαν. Legg. IV. 713. C: φήμην ... παραδεδέγμεθα τῆς τῶν τότε μακαρίας ζωῆς, ὡς ἄφθονα ... πάντα εἶχεν. VII. 822. C: ψευδῆ φήμην ἡμῶν κατὰ θεῶν ὑμνούντων. XII. 952. B: εἴ τινα φήμην τινῶν περὶ θέσεως νόμων ... εὗρέ τινας ἔχοντας, φράζειν cet. Apol. 18. C: ταύτην τὴν φήμην κατασκεδάσαντες. Pol. V. 463. D: αὗταί σοι, ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα —; Legg. X. 906. B: ὥς αἱ φῆμαί φασιν αἱ τῶν κακῶν. XI. 927. A: πιστεύειν ... ταῖς ἄλλαις φήμαις χρεὼν περὶ τὰ τοιαῦτα οὕτω πολλαῖσι καὶ σφόδρα παλαιαῖς οὔσαις. V. 738. C: καθιέρωσαν ... τοῖς τοιούτοις λόγοις φήμας τε καὶ ἀγάλματα cet. Etiam est fama ex opinione vulgari profecta. Legg. IX. 870. A: τῆς ἀπαιδευσίας τοῦ κακῶς ἐπαινεῖσθαι πλοῦτον αἰτία φήμη πρὸς τῶν Ἑλλήνων τε καὶ βαρβάρων. IX. 871. B: ὡς ἡ τοῦ νόμου ἀρὰ τὴν φήμην προτρέπεται. *vox divina s. divinitus missa; responsum, oraculum. Tim. 72. B: ὅτι τῆς δι' αἰνιγμῶν οὗτοι φήμης καὶ φαντάσεως ὑποκριταί. Legg. II. 664. D: διὰ θείας φήμης καταλελεῖφθαι. VII. 792. D: κατά τινα μαντείας φήμην. Phaed. 111. B: φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν ... γίγνεσθαι αὐτοῖς. Legg. I. 624. B: κατὰ τὰς παρ' ἐκείνου φήμας ταῖς πόλεσι ὑμῖν θέντος τοὺς νόμους. Epin. 985. C: ἡ κατὰ φήμας τε καὶ μαντείας λεχθὲν τισιν (v. λεχθεῖσιν). — Simpl. *vox* (Legg. XI. 935. A: δι' αἰσχρῶν ὀνομάτων ἐπιφέρειν γυναικείους ἑαυτοῖς φήμας), *verbum* (Legg. XII. 966. C: τῇ φήμῃ μόνον τῶν νόμων συνακολουθοῦσι) et *nomen*. Legg. IV. 704. A: τοῦτο τάχ' ἂν ἴσως ... ἢ θεῶν ἐπωνυμία τῶν ἐν τῷ τόπῳ προσθείη τὴν αὐτῶν φήμην καίνῃ γενομένῃ τῇ πόλει. **omen*. Legg. IX. 878. A: φήμης ἕνεκα ἐπονομάζοντας. X. 908. A: τιμωρίας ἔχων ἐπωνυμίαν φήμην τινά. Ep. VI. 323. C: φήμην γὰρ ἀγαθὴν μαντεύομαι.

φημὶ, *dico, aio, affirmo*, cum neg. *nego*; *nomino*; *profiteor*; *narro*. Pol. I. 338. C: φημὶ γὰρ ἐγὼ εἶναι τὸ δίκαιον οὐκ ἄλλο τι ἢ cet. Gorg. 489. C: ὅτι ταὐτόν φημι εἶναι τὸ βέλτιον καὶ τὸ κρεῖττον. Abs. interpos. ἔγωγέ φημι Gorg.

526. C. In respons. affirmandi vi ponitur. Phaedr. 270. C: *φημί* (i. q. *vero*). Prot. 309. C: *τί φῄς* (v. *φῄς*); 312. C: *ἀνδρί, ὡς φῄς, σοφιστῇ.* Euthyd. 304. C: *ὡς ἐκείνω φατὸν οἵω τ' εἶναι διδάξαι* cet. Crat. 434. C: *ὅτι ἐπὶ τῷ αὐτῷ ἡμεῖς μέν φαμεν σκληρότης, Ἐρετριεῖς δὲ σκληρότηρ.* Prot. 330. D: *οὐκοῦν καὶ ὁσιότητά τινά φατε εἶναι:* Pol. II. 366. E: *ὅσοι ἐπαινέται φατὲ δικαιοσύνης εἶναι.* I. 329. E: *τοῖς γὰρ πλουσίοις πολλὰ παραμύθιά φασιν εἶναι.* Plur. *φασί* (vern. *sagt man*) Gorg. init. al. innum. Prot. 349. C: *ταῦτα εἰ μέν σοι δοκεῖ ἔτι ὥσπερ τότε, φαθί* (v. *φάθι*). Gorg. 475. E: *ἢ φαθὶ ἢ μὴ* (*nega*) *ἃ ἐρωτῶ.* Pol. V. 475. B. Legg. X. 902. B: *φάτω.* Prot. 330. C: *φαίην ἂν ἔγωγε ἀποκρινόμενος.* D: *φαῖμεν ἄν.* Phil. 63. C: *φαῖμεν ἂν αὖ τὸν νοῦν ... ἀνερωτῶντες.* Ib. *ποίων, φαῖεν ἂν ἴσως, ἡδονῶν;* Euthyd. 296. E: *πῶς φῶ ἐπίστασθαι —;* Crat. 434. E: *ἐπειδάν τις φῇ σκληρόν.* Phil. 35. E: *φῶμεν ἢ μὴ φῶμεν αὐτὸν ἐν μέσῳ τῶν παθημάτων εἶναι;* Pol. V. 474. C: *ὃν ἂν φῶμεν φιλεῖν τι.* Absol. interpositum *φῶμεν* Legg. X. 897. C. Phaedr. 273. B: *μὴ ὑπὸ μόνου φάναι τοῦ ἀνδρικοῦ συγκεκόφθαι.* Theaet. 165. A: *φάναι τε καὶ ἀπαρνεῖσθαι.* Crat. 429. D: *πότερον λέγειν μὲν οὐ δοκεῖ σοι εἶναι ψευδῆ, φάναι δέ; Οὔ μοι δοκεῖ οὐδὲ φάναι.* Prot. 317. D: *ἔφην ἐγώ.* Gorg. 466. E: *ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ.* Crat. 438. A: *ἔφησθα.* Pol. VI. 501. C. VIII. 544. A. al. Prot. 310. B: *Πρωταγόρας, ἔφη, ἥκει, στὰς παρ' ἐμοί* (ubi *ἔφη* et *στὰς* cet. cohaerent). 330. B: *οὐκ ἔφη.* Phaed. 117. E: *ὁ δ' οὐκ ἔφη.* Prot. 317. D: *ὁ Καλλίας ἔφη* (nomine praepos.). 354. E: *ἀληθῆ, ἔφη, λέγεις, ὁ Πρωταγόρας.* Conv. 174. B: *κἀγώ, ἔφη* (*narravit*), *εἶπον ὅτι* cet. C: *εἰπεῖν ἔφη.* 180. C. al. Euthyd. 278. C: *ἐφάτην ... ἐπιδείξασθαι* (v. *ἐπιδείξεσθαι*) *τὴν προτρεπτικὴν σοφίαν.* 294. E: *ἐφάτην ἅμα ἀμφοτέρω.* Pol. V. 459. D: *ἔφαμεν δέ που ... πάντα τὰ τοιαῦτα χρήσιμα εἶναι.* Ep. III. 318. E: *οὐδὲν γὰρ ἂν ἕτερον ἔφησεν αἴτιον τίς εἶναι τῆς ἐμῆς μεταβολῆς.* Polit. 297. E: *ὃ δὴ δεύτερον ἐφήσαμεν.* Prot. 349. C: *ἐάν πῃ ἄλλῃ νῦν φήσῃς.* Pol. V. 479. B: *ἃ ἂν φήσωμεν.* Dem. 382. C: *οὐκ οἴομαι ἂν φῆσαι ὑμᾶς.* Theaet. 195. D: *φήσω ... ἐγώ.* Gorg. 449. C: *οὐδενὸς φήσεις βραχυλογωτέρου ἀκοῦσαι.* Theaet. 195. E: *τί οὖν, φήσει, τὰ ἕνδεκα —;* Phil. 13. A: *ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσομεν, ὀνόματι.* Soph. 244. B: *φαμὲν γάρ; φήσουσιν.* Med. Alc. II. 142. D: *ἐξ ἐκείνων φάμενοι κακά σφισιν εἶναι.* Praegresso verbo dicendi *φησί, φασί, ἔφη* al. subiiciuntur. Phaed. 115. C. Crat. 408. A. 412. B. al. **puto, existimo, censeo; statuo, sumo;* etiam *iubeo.* Prot. 338. D: *ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι.* Crat. 413. C: *ὁ δὲ τούτων ... πάντων καταγελᾶν φησίν.* 433. C: *οὕτω φαμέν, ἢ ἄλλως;* Polit. 286. C: *τούτων ἕνεκα ... τὰ πρόσθεν νῷν*

εἰρῆσθαι φαθί. Phil. 26. D: *ἀλλὰ τρίτον φαθί με λέγειν.* Phaed. 82. A: *ἢ ποῖ ἂν ἄλλοσε φαῖμεν τὰς τοιαύτας ἰέναι;* 83. D: *ταῦτα ἀληθῆ εἶναι ἅπερ ἂν καὶ τὸ σῶμα φῇ.* Gorg. 489. C: *ἐὰν οὗτοι φῶσιν.* Parm. 130. C: *πότερα χρὴ φάναι ὥσπερ περὶ ἐκείνων, ἢ ἄλλως.* Pol. VI. 508. B: *τοῦτον … φάναι* (i. q. *φαθί*) *με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον.* Theaet. 197. A: (*εἰ*) *τούτων … ἂν ἔφη ἀπέχεσθαι.* Pol. I. 353. D: *ψυχῆς φήσομεν ἔργον εἶναι;* Tim. 72. B: *πεφάσθω* (*sumtum esto*). — Verb. *φατέον.* Phil. 40. B. 56. D. Legg. IX. 864. A.

φθάνω, *anteverto;* cum partic. i. q. *prius* vel *ante.* Ep. VII. 349. C: *φθάνει … Ἡρακλείδης εἰς τὴν Καρχηδονίων ἐπικράτειαν ἐκφυγὼν* (*ante effugerat*) cet. Phaedr. 243. E: (*ἵνα*) *μὴ ἀνήκοος ὢν φθάσῃ χαρισάμενος τῷ μὴ ἐρῶντι* (*ne amoris experti prius gratificetur quam audiverit*). Euth. 9. A: *ὃς ἂν … φθάσῃ τελευτήσας διὰ τὰ δεσμά.* Polit. 293. E: *σμικρόν γε ἔφθης με ἐρόμενος.* Pol. V. 466. D: *ἔφθης … εἰπὼν ᾗ ἔμελλον ὑπολήψεσθαι.* Alc. I. 104. C: *καὶ ἴσως γε … οὐκ οἶσθ᾽ ὅτι σμικρόν με ἔφθης.* Polit. 266. D: *ἵνα μή με φθῇς* (v. *μὴ μεμφθῇς*) *ἐρωτήσας τὴν βραχυτέραν ὁδὸν* cet. Euthyd. 275. B: *μή τις φθῇ ἡμᾶς ἐπ᾽ ἄλλο τι ἐπιτήδευμα τρέψας αὐτοῦ τὴν διάνοιαν καὶ διαφθείρῃ.* Alc. I. 131. E: *οὐκοῦν ἔφησθα σμικρὸν φθῆναί με προσελθόντα σοι —;* Pol. II. 375. C: *αὐτοὶ φθήσονται αὐτὸ δράσαντες.* Etiam est *ante omnia*, igitur *statim* aliquid facio; unde *οὐκ ἂν φθάνοις λέγων* proprie est: *nonne statim dicis* vel *dices?* h. e. *statim* vel *iamiam dic.* Etenim Graeci interrogationem imperandi sensu ponunt. Huiusmodi autem interrogandi formis etiam extra interrogationem soliti sunt uti; quocirca etiam prima et secunda verbi persona dicebant *οὐκ ἂν φθάνοιμι* et *φθάνοις*, v. c. *λέγων*: *iamiam dicam*, germ. *so will ich es sagen.* Conv. 214. E: *οὐκ ἂν φθάνοιμι* (intell. *τἀληθῆ λέγων*). Phaed. 100. C: *ἀλλὰ μὴν … ὡς διδόντος σοι οὐκ ἂν φθάνοις περαίνων* (nos: *so führe es nur aus*). Conv. 185. E: *οὐκ ἂν φθάνοις λέγων* (nos: *so rede nur*). Euthyd. 272. D: *οὐκ ἂν φθάνοις ἀκούων* (*das sollst du gleich hören*).

φθαρτικός, ή, όν, *corrumpens.* Def. 416: *μανία ἕξις φθαρτικὴ ἀληθοῦς ὑπολήψεως.*

φθέγγομαι, *dico, vocem mitto, loquor; pronuntio; significo; profero; sono.* Phaedr. 238. D: *τὰ νῦν γὰρ οὐκέτι πόῤῥω διθυράμβων φθέγγομαι.* 241. E: *ὅτι ἤδη ἔπη φθέγγομαι.* Crat. 435. A: *ὃ διανοούμενος φθέγγομαι.* Theaet. 179. D: *εἴτε ὑγιὲς εἴτε σαθρὸν φθέγγεται.* Ion. 534. D: (*ὅτι*) *ὁ θεὸς αὐτός ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς.* Soph. 257. D: *ὃ … μὴ καλὸν ἑκάστοτε φθεγγόμεθα.* Polit. 307. A. Soph. 243. D: *τί ποτε ἄρα τοῦτ᾽ ἐπ᾽ ἀμφοῖν φθέγγεσθε λέγοντες ἄμφω καὶ ἑκάτερον εἶναι;* Legg. VII. 800. A: *φθεγγέσθω.* II. 664. A: *ὅντινά ποτε τρόπον ἡ τοιαύτη ξυνοικία πᾶσα περὶ τούτων ἓν καὶ ταὐτὸν ὅτι μάλιστα*

φθέγγοιτ' ἀεὶ cet. E. VII. 800. C. Pol. V. 463. E: εἰ ἄνευ ἔργων οἰκεῖα ὀνόματα διὰ τῶν στομάτων μόνον φθέγγοιντο. Crat. 434. E: ὅταν τοῦτο φθέγγωμαι. Ep. V. 321. E: ἥτις ... τῶν πολιτειῶν τὴν αὑτῆς φθέγγηται φωνὴν πρός τε θεοὺς καὶ πρὸς ἀνθρώπους. Legg. II. 664. C: ἐὰν ἄλλως πως φθεγγώμεθα λέγοντες. Soph. 244. A: ὁπόταν ὂν φθέγγησθε. Theaet. 163. B: ὅταν φθέγγωνται (οἱ βάρβαροι). Pol. V. 462. C: ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό τε ἐμὸν καὶ τὸ οὐκ ἐμόν. Prot. 334. D: ὥσπερ ... ὤου ἂν χρῆναι ... μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους. 342. E: τοιαῦτα οἷόν τ' εἶναι ῥήματα φθέγγεσθαι. Soph. 237. B: τὸ μηδαμῶς ὂν τολμῶμέν που φθέγγεσθαι. Parm. 161. A: οὐδὲ φθέγγεσθαι δεῖ οὐδέν. Pol. II. 368. C: ἔτι ἐμπνέοντα καὶ δυνάμενον φθέγγεσθαι. Legg. II. 655. D: οὔτε ὅσιον τὸ παράπαν φθέγγεσθαι. VII. 791. E: φθέγγεσθαί που μετὰ βοῆς εὐθὺς πᾶν εἴωθε τὸ γιγνόμενον. XI. 938. A: μὴ ἐναντία δίκῃ φθέγγεσθαι. Euthyd. 305. B: φθεγγόμενα καὶ βοῶντα μέγιστον τὰ σιδήρια λέγεται. Legg. VII. 817. C: μεῖζον φθεγγομένους ἡμῶν (ὑποκριτάς). Crat. 394. C: ταῖς μὲν συλλαβαῖς καὶ τοῖς γράμμασι διαφωνοῦντα, τῇ δὲ δυνάμει ταὐτὸν φθεγγόμενα. Legg. II. 683. E: τὰ δὲ φθεγγόμενα πάσας φωνάς. Ep. VII. 347. E: πρὸς ἐμὲ δὲ οὐδὲν ὅλως ἐφθέγγετο περὶ αὐτῶν. Legg. VIII. 830. C: ὃ σὺ νῦν ἔφθεγξαι. Ep. VII. 342. B: ὃ (ὄνομα) νῦν ἐφθέγμεθα. Phil. 24. C: ὃ σὺ νῦν ἐφθέγξω. Phaed. 118. A: ὃ δὴ τελευταῖον ἐφθέγξατο. Theaet. 162. A. Pol. VIII. 568. A: ὅτι καὶ τοῦτο ... ἐφθέγξατο ὡς cet. Charm. 161. D: ἢ τὰ ῥήματα ἐφθέγξατο. Crat. 399. B: ἀντὶ ὀξείας ... βαρεῖαν ἐφθεγξάμεθα. Soph. 238. B: πῶς οὖν ἂν ἢ διὰ τοῦ στόματος φθέγξαιτ' ἄν τις ... τὰ μὴ ὄντα —; Parm. 147. D: ἐάν τε ἅπαξ ἐάν τε πολλάκις ταὐτὸν ὄνομα φθέγξῃ. Soph. 243. B: ὅταν τις αὐτῶν φθέγξηται λέγων ὡς cet. C. Legg. XI. 935. B. Ion. 536. B: ἐπειδὰν δὲ τούτου τοῦ ποιητοῦ φθέγξηταί τις μέλος. Phil. 28. B: ἵνα μηδὲν ἡμεῖς ... παρὰ μέλος φθεγξώμεθά τι. Pol. VI. 505. C: ἐπειδὰν τὸ τοῦ ἀγαθοῦ φθέγξωνται ὄνομα. Gorg. 485. D: ἐλεύθερον ... καὶ μέγα ... μηδέποτε φθέγξασθαι. Phaed. 93. A: πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονίαν κινηθῆναι ἢ φθέγξασθαι ... τοῖς αὑτῆς μέρεσιν. Soph. 238. C. Crat. 429. E. Legg. III. 696. D. Phil. 57. B: ἆρ' οὖ τινα τέχνην ὡς ὁμώνυμον φθεγξάμενος ... ἐπανερωτᾷ —; Soph. 236. E: τοῦτο φθεγξάμενον. Phil. 49. B: γελοίους τοιούτους φάσκων εἶναι τἀληθῆ φθέγξει. Soph. 227. D: καθαρμὸν αὐτὸν λέγοντες ἐν μέλει φθεγξόμεθα. Etiam *clamo; eiulo.* Legg. XII. 960. A: ἐν ταῖς ὁδοῖς πορευόμενον φθέγγεσθαι. Pol. I. 336. C: εἰς τὸ μέσον φθεγξάμενος ... ἔφη. **nomino, appello.* Epin. 987. C: Κρόνον δ' αὐτόν τινες ἐπωνυμίαν φθέγγονται. Phil. 34. A: ταύτην ... τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ

τρόπου φθέγγοι' ἄν. Legg. VII. 814. E: *ἧς τὸ πλεῖστον μέρος ὄρχησίν τινά τις προςαγορεύων ὀρθῶς ἂν φθέγγοιτο.* Theaet. 157. B: *ἀλλὰ καὶ φύσιν φθέγγεσθαι (δεῖ) γιγνόμενα καὶ ποιούμενα* cet. Pol. VII. 527. A: *πάντα οὕτω φθεγγόμενοι.* Phil. 25. C: *θερμότερον ἐφθεγγόμεθα νῦν δή που τι καὶ ψυχρότερον.* Soph. 262. D: *τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον.* 240. A: *φθεγξάμενος εἴδωλον ἐπὶ πᾶσιν ὡς ἓν ὄν.*

φθέγμα, τό, *vox, sonus*; etiam *fremitus.* Pol. X. 616. A: *(τὸν φόβον) μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα, ὅτε ἀναβαίνοι.* 615. E: *καταμανθάνοντες τὸ φθέγμα* (quod refertur ad v. *ἐμυκᾶτο*, int. *τὸ στόμιον*). Legg. II. 655. A: *ἆρ' ὅμοια τά τε σχήματα καὶ τὰ φθέγματα ξυμβαίνει γίγνεσθαι;* VII. 812. D: *ἀποδιδόντας πρόςχορδα τὰ φθέγματα τοῖς φθέγμασι.*

φθειριστικός, ή, όν, *pedicularis*, fem. *peritia pedic.* Soph. 227. B: *σεμνότερον δέ τι τὸν διὰ στρατηγικῆς ἢ φθειριστικῆς δηλοῦντα θηρευτικὴν οὐδὲν νενόμικεν.*

φθείρω, *perdo, corrumpo.* Pol. VI. 491. C: *ἔτι ... τὰ λεγόμενα ἀγαθὰ πάντα φθείρει καὶ ἀποσπᾷ.* X. 609. D. Legg. X. 906. A: *φθείρει ... ἡμᾶς ἀδικία καὶ ὕβρις μετὰ ἀφροσύνης.* III. 683. A: *ποῖοι (νόμοι) φθείρουσι τὰ φθειρόμενα.* Pol. X. 605. B: *(ὅταν τις) τοὺς ... χαριεστέρους φθείρῃ.* Tim. 89. C: *ἣν ὅταν τις ... φθείρῃ φαρμακείαις.* Legg. VIII. 845. D: *οὔτε γὰρ γῆν ... ῥάδιον φθείρειν φαρμακεύσεσιν* cet. XII. 958. C: *ὡς ὅλην τὴν πόλιν καὶ νόμους φθείρων θανάτῳ ζημιούσθω.* Phil. 32. B: *ὅταν ... τοῦτο φθείρηται.* Legg. IV. 708. C: *δι' ἃ καὶ πρότερον ἐφθάρη.* III. 697. D: *τούτου ... φθαρέντος.* Pass. et med. *pereo* vel *intereo.* Ep. V. 321. E: *μιμουμένη δ' ἄλλην (πολιτείαν) φθείρεται.* Phil. 55. A: *οὐκοῦν τῷ γίγνεσθαί γε τοὐναντίον ἅπαντες τὸ φθείρεσθαι φαῖμεν ἄν;* Def. 411. A: *καὶ πρότερον ὂν καὶ νῦν μὴ ἐφθαρμένον* (sic codd. pro vulg. *διεφθαρμένον*). Legg. III. 676. B: *οὐκ ἐλάττους ἐφθαρμέναι (πόλεις).* IX. 873. D: *τοῖς οὕτω φθαρεῖσι.* Locr. 94. D: *οὔποκα φθαρησούμενον* (v. *φθαρησόμενον*) *ὑπ' ἄλλω αἰτίω* cet.

φθίνω, *decresco; dilabor, intereo.* Phaedr. 246. E: *τοῖς ἐναντίοις φθίνει τε καὶ διόλλυται.* Tim. 81. B: *φθίνει πᾶν* (opp. *αὐξάνεται*). D. Critia 121. A. Legg. X. 893. E. Phaed. 71. B: *καὶ καλοῦμεν οὕτω τὸ μὲν αὐξάνεσθαι, τὸ δὲ φθίνειν.* Theaet. 155. A: *μήτε αὐξάνεσθαί ποτε μήτε φθίνειν.* Id. Parm. 156. B. Tim. 33. A: *(ὡς) φθίνειν ποιεῖ.* Parm. 157. B: *οὔτε αὐξανόμενον οὔτε φθῖνον.* Id. Conv. 211. A. Epin. 979. A: *αὐξανομένην καὶ φθίνουσαν ἐμποιήσας.* Pol. VIII. 546. B: *καὶ αὐξόντων καὶ φθινόντων.* Tim. 81. D: *φθίνοντα πάλιν δέχεσθε.* 77. A: *διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον κενούμενόν τε ἔφθινε.*

φθίσις, ἡ, *deminutio, decessio; defectio.* Phaed. 71. B:

μείζονος ... πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ φθίσις. Def. 411. B: *γῆρας φθίσις ἐμψύχου ὑπὸ χρόνου γιγνομένη.* Pol. VII. 521. E: *σώματος ... αὔξης καὶ φθίσεως ἐπιστατεῖ (γυμναστική).* Tim. 33. C: *αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον ... ἐκ τέχνης γέγονεν.* Legg. X. 897. A: *ὅσαι ... ἄγουσι πάντα εἰς αὔξησιν καὶ φθίσιν* cet. Phil. 42. D: *καὶ τισιν αὔξαις καὶ φθίσεσι.*

φθόγγος, ὁ, sonus. Menex. 235. B: *οὕτως ἔναυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα.* Soph. 263. E: *τὸ ... ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ φθόγγου.* Phil. 18. B: *φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντά τινος.* Tim. 37. B: *φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς (λόγος).* Theaet. 206. A: *τὸ τῷ φθόγγῳ ἑκάστῳ δύνασθαι ἐπακολουθεῖν.* Tim. 80. A: *ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς ὀξεῖς τε καὶ βαρεῖς φαίνονται.* Hipp. mai. 298. A: *οἱ φθόγγοι οἱ καλοί.* Phil. 51. B: *τὰς τῶν φθόγγων (ἡδονάς).* D. Epin. 978. A. Phaed. 86. C: *αἱ (ἁρμονίαι) ... ἐν τοῖς φθόγγοις.* Pol. III. 400. A. Legg. VII. 812. D: *τοῖς φθόγγοις τῆς λύρας.* E. Soph. 253. B: *περὶ τοὺς τῶν ὀξέων καὶ βαρέων φθόγγους.* Crat. 389. D: *εἰς τοὺς φθόγγους καὶ τὰς συλλαβὰς ... τιθέναι.* Pol. III. 397. A: *κυνῶν ... καὶ ὀρνέων φθόγγους.* 399. A. C. VII. 531. A: *τὰς ... συμφωνίας καὶ φθόγγους.*

φθόη, ἡ, tabes. Legg. XI. 916. A: *ἀνδράποδον ... κάμνον φθόῃ.*

φθονερός, ά, όν, invidus. Prot. 361. E: *φθονερός τε ἥκιστ᾽ ἀνθρώπων.* Legg. V. 731. A. Phil. 49. D: *οὔτ᾽ ἄδικον οὔτε φθονερόν ἐστι τὸ χαίρειν.* Legg. III. 694. B: *οὐ φθονεροῦ τοῦ βασιλέως ὄντος.* Alc. II. 147. C: *ὅταν λάβηται ἀνδρὸς φθονεροῦ.* Pol. VI. 500. A: *φθονεῖν τῷ μὴ φθονερῷ.* IX. 580. A. Phaedr. 239. A: *φθονερὸν δὴ ἀνάγκη εἶναι.*

φθονερῶς, cum v. *ἔχειν* invidere. Phaedr. 243. C: *(ὡς) ἔχουσι πρὸς τὰ παιδικὰ φθονερῶς τε καὶ βλαβερῶς.*

φθόνος, ὁ, invidia. Phaedr. 247. A: *φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται.* Pol. V. 476. E: *ὡς, εἴ τι οἶδεν, οὐδεὶς αὐτῷ φθόνος, ἀλλ᾽ ἄσμενοι ἂν ἴδοιμεν εἰδότα τι.* Tim. 29. E: *ἀγαθῷ ... οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος.* Apol. 28. A: *ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος.* Def. 416: *φθόνος λύπη ἐπὶ φίλων ἀγαθοῖς.* Forma *φθόνος οὐδεὶς* in eo ponitur qui non gravatur vel recusat, sed libenter aliquid facit, dicit, dicturus est al. Phaed. 61. D: *ἃ ... τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν.* Soph. 217. B: *ἀλλ᾽ οὐδεὶς ... φθόνος αὐτῷ διελθεῖν αὐτά.* B. Tim. 23. D. Legg. I. 641. D. Etiam pass. *non recusatur,* h. e. *licet.* Legg. II. 664. A: *εἰ ... ἄλλῃ πῃ δοκεῖ ἢ ταύτῃ, πρὸς ταῦτα οὐδεὶς φθόνος ἀμφισβητῆσαι τῷ λόγῳ.* VII. 802. A. Phil. 48. B: *τὸ ... ὄνομα φθόνου.* Pol. VI. 500. C: *φθόνου τε καὶ*

δυςμενείας ἐμπίπλασθαι. (Id. Lys. 215. D.) Legg. VIII. 844. C: *φθόνου θ' ἅμα καὶ δυςκόλου ψυχῆς ὑπεχέτω δίκην.* Epin. 988. B: *ἄνευ φθόνου.* Phaedr. 253. B: *φθόνῳ ... χρώμενοι.* Phil. 50. A: *κεραννύντες ἡδονὴν φθόνῳ.* Pol. IX. 586. C: *ἢ φθόνῳ διὰ φιλοτιμίαν ἢ βίᾳ* cet. Legg. I. 635. B: *τῷ μὴ φθόνῳ τὰ λεγόμενα, ἀλλ' εὐνοίᾳ δεχομένῳ.* Apol. D: *φθόνῳ καὶ διαβολῇ χρώμενοι.* Prot. 316. D: *φοβηθέντες τὸν φθόνον.* Gorg. 457. D: *κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν* (*ad invidiam sibi faciendam*) *λέγειν.* Phil. 47. E: *ζῆλον καὶ φθόνον.* 49. A: *τὸν παιδικὸν ἰδόντες φθόνον.* 50. A: *ἡδονὴν ... ἐπὶ τοῖς τῶν φίλων κακοῖς οὐ φθόνον ἔφαμεν εἶναι τὸν τοῦτο ἀπεργαζόμενον;* Legg. IX. 870. C: *αὐτῷ τῷ κεκτημένῳ τὸν φθόνον.* Hipp. mai. 282. A: *εὐλαβούμενος ... φθόνον τῶν ζώντων.* Ep. VII. 344. C. Prot. 316. D: *οὐ γὰρ σμικροὶ περὶ αὐτὰ φθόνοι ... γίγνονται.* Legg. III. 679. C: *ζῆλοί τε ... καὶ φθόνοι οὐκ ἐγγίγνονται.* VII. 801. E: *νόμος ἄνευ φθόνων εὐθὺς γίγνοιτ' ἂν ὅδε.* IX. 863. E: *τὴν ... φθόνων καὶ ἐπιθυμιῶν ἐν ψυχῇ τυραννίδα.* Ep. III. 316. E: *εὐλαβούμενον τὰς ἐκ τῶν φθόνων διαβολάς.* VII. 344. B: *ἄνευ φθόνων ἐρωτήσεσι καὶ ἀποκρίσεσι χρωμένων.* Legg. XI. 934. A: (*ἐν*) *φθόνοις ἢ θυμοῖς* (*ὁ κακουργήσας*). IX. 870. C: *φθόνους ἐντίκτουσα.*

φθονῶ, *invideo* et (propter invidiam) *recuso, denego.* Theag. 125. A: *ἔπειτα φθονεῖς ... αὐτῷ —;* Prot. 327. A: *ὥσπερ νῦν τῶν δικαίων ... οὐδεὶς φθονεῖ.* De virt. 377. A: *οὐδεὶς ἄρα φθονεῖ τῶν ἀγαθῶν ἀνδρῶν ἄλλῳ, ὥστε ἀγαθὸν καὶ ὅμοιον ἑαυτῷ ποιῆσαι.* Euth. 3. B: *ἀλλ' ὅμως φθονοῦσιν ἡμῖν πᾶσι τοῖς τοιούτοις.* Gorg. 489. A: *μὴ φθόνει μοι ἀποκρίνασθαι τοῦτο.* Pol. VII. 528. A: *φθονοῖς μὴν οὐδ' ἂν ἄλλῳ, εἴ τίς τι δύναιτο ἀπ' αὐτῶν ὄνασθαι.* Phaedr. 232. D: *οὐκ ἂν τοῖς συνοῦσι φθονοῖεν.* 240. A: *ἐραστὴν παιδικοῖς φθονεῖν ... οὐσίαν κεκτημένοις.* Men. 93. C. De lucri cup. 228. C: *οὐκ οἰόμενος δεῖν οὐδενὶ σοφίας φθονεῖν.* Phil. 48. B: *ὁ φθονῶν ... ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος ἀναφανήσεται.* Pol. IX. 579. B: *φθονῶν καὶ τοῖς ἄλλοις πολίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι ἀγαθὸν ὁρᾷ.* Euthyd. 279. D: *φθονῶν καὶ διακωλύων.* Legg. V. 730. E: *τὸν ... φθονοῦντα.* Hipp. mai. 283. E: *οὐ γάρ που ἐφθόνουν γε τοῖς ἑαυτῶν παισὶν ὡς βελτίστοις γενέσθαι.* De virt. 376. D. Apol. 33. A: *οὐδενὶ πώποτε ἐφθόνησα.* Menex. 238. A: *τούτου ... τοῦ καρποῦ οὐκ ἐφθόνησεν, ἀλλ' ἔνειμε καὶ τοῖς ἄλλοις.* Prot. 320. C: *μὴ φθονήσῃς* (*ne gravere*), *ἀλλ' ἐπίδειξον.* Theaet. 169. C. Conv. 222. C: *ἀλλ' ἔασον ... καὶ μὴ φθονήσῃς.* Pol. I. 338. A: *μὴ φθονήσῃς καὶ Γλαύκωνα τόνδε διδάξαι καὶ τοὺς ἄλλους.* Euthyd. 297. B: *καὶ μή μοι φθονήσῃς τοῦ μαθήματος.* Hipp. min. 372. E: *μὴ φθονήσῃς ἰάσασθαι τὴν ψυχήν μου.* Prot. 320. C: *ἀλλ' ... οὐ φθονήσω.* Lach. 200. B. Ion. 530. D: *δῆλον ...*

ὅτι οὐ φθονήσεις μοι ἐπιδεῖξαι. Hipp. min. 363. C: δῆλον ὅτι οὐ φθονήσει Ἱππίας.

φθορά, ἡ, *interitus; pernicies.* Phil. 31. E: δίψος δ' αὖ φθορὰ καὶ λύπη καὶ λύσις cet. Pol. VIII. 546. A: ἐπεὶ γενομένῳ παντὶ φθορά ἐστιν cet. Tim. 22. D: διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. 72. E: ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο cet. Legg. III. 677. E: ὅτε ἐγένετο ἡ φθορά. V. 741. E: νόσων ἢ πολέμων φθορά. Phaed. 95. E: περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. Parm. 136. B. Pol. VI. 485. A. Tim. 20. E: ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώπων ἠφανισμένα (ἔργα). Critia 112. A: πρὸ τῆς ἐπὶ Δευκαλίωνος φθορᾶς. Legg. III. 702. A: τοὺς περιλιπεῖς γενομένους τῆς φθορᾶς. Menex. 241. E: ἀλλὰ μὴ τῇ τῶν Ἑλλήνων ἐπιβουλεύειν φθορᾷ. Phaed. 106. D: εἰ τό γε ἀθάνατον ... φθορὰν δέξεται. Polit. 270. A: ἄλλην αὖ φθορὰν ζώων παντοίων ἀπειργάσατο. Phil. 32. B: τὴν ... φθορὰν λύπην εἶναι. 35. E: ὅσα περὶ σωτηρίαν τ' ἐστὶ τῶν ζώων καὶ τὴν φθοράν. 55. A: τὴν ... φθορὰν καὶ γένεσιν. Tim. 21. D: διὰ ... χρόνον καὶ φθορὰν τῶν ἐργασαμένων. 23. C: ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν. 52. A: φθορὰν οὐ προσδεχόμενον. Legg. IV. 715. D: φθορὰν ὁρῶ τῇ τοιαύτῃ (πόλει) ἑτοίμην οὖσαν. Polit. 270. C: φθοραὶ ... τότε μέγισται ξυμβαίνουσι τῶν τε ἄλλων ζώων cet. Tim. 22. C: πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται. Legg. III. 680. D: ὑπὸ ἀπορίας τῆς ἐν ταῖς φθοραῖς. X. 894. B: γενέσεσι καὶ φθοραῖς. Phaed. 96. B: τούτων τὰς φθορὰς σκοπῶν. Pol. VI. 490. E: ταύτης ... τῆς φύσεως δεῖ θεάσασθαι τὰς φθοράς. Tim. 82. B: φθορὰς ... ἀπείρους παρέξεται. Critia 109. D. Legg. III. 677. A: τὸ πολλὰς ἀνθρώπων φθορὰς γεγονέναι κατακλυσμοῖς τε καὶ νόσοις cet.

φθόρος, ὁ, *pernicies.* Euthyd. 285. B: εἴτε καὶ παρ' ἄλλου του ἐμαθέτην φθόρον τινὰ καὶ ὄλεθρον τοιοῦτον ὥστε cet.

φιάλη, ἡ, *phiala.* Conv. 223. C: πίνειν ἐκ φιάλης μεγάλης ἐπὶ δεξιά. Critia 120. B: πιὼν καὶ ἀναθεὶς τὴν φιάλην εἰς τὸ ἱερὸν τοῦ θεοῦ. A: χρυσαῖς φιάλαις ἐκ τοῦ κρατῆρος ἀρυτόμενοι. Legg. VII. 819. B: φιάλας ἅμα χρυσοῦ καὶ χαλκοῦ ... κεραννύντες.

φιλαθήναιος, ὁ ἡ, *Atheniensibus amicus.* Tim. 21. E: μάλα ... φιλαθήναιοι ... εἶναί φασιν.

φιλαίτιος, ὁ ἡ, *obiurgandi cupidus.* Legg. X. 903. A: τῷ φιλαιτίῳ τῆς ἀμελείας πέρι θεῶν.

φιλαναλωτής, ὁ, *prodigus.* Pol. VIII. 548. B: φιλαναλωταὶ (al. φιλαναλῶται) ... ἀλλοτρίων δι' ἐπιθυμίαν.

φίλανδρος, ὁ ἡ, *virosus.* Conv. 191. E: ὅσαι ... γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι.

φιλανθρωπία, *amor hominum.* Def. 412. E: φιλ. ἕξις

εὐάγωγος ἤθους πρὸς ἀνθρώπου φιλίαν. Euth. 3. D: ὑπὸ φιλανθρωπίας.

φιλάνθρωπος, ὁ ἡ, *hominum amans.* Legg. IV. 713. D: ὁ θεὸς φιλάνθρωπος ὤν. Conv. 189. D: ἐστι ... θεῶν φιλανθρωπότατος.

φιλαπεχθημόνως, cum v. ἔχειν *libenter inimicitias gerere.* Pol. VI. 500. B: λοιδορουμένους τε αὑτοῖς (*inter se obtrectantes*) καὶ φιλαπεχθημόνως ἔχοντας.

φιλάργυρος, ὁ ἡ, *pecuniae cupidus.* Pol. I. 347. B: ὅτι τὸ φιλότιμόν τε καὶ φιλάργυρον εἶναι ὄνειδος λέγεταί τε καὶ ἔστιν. Gorg. 515. E: φιλαργύρους.

φίλαρχος, ὁ ἡ, *imperii* vel *imperandi cupidus.* Pol. VIII. 549. A: φίλαρχος ... καὶ φιλότιμος. Phaed. 82. C: ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι.

φιλέλλην, ὁ ἡ, *Graecorum amans* vel *studiosus.* Ep. VIII. 354. A: ὀρθότατα φιλέλλην ἂν λεχθείη. Pol. V. 470. E: ἀλλ' οὐ φιλέλληνες;

φιλεραστής, ὁ ἡ, *amatoris studiosus*, *amatori deditus.* Conv. 192. B: πάντως ... ὁ τοιοῦτος παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται.

φιλεραστία, ἡ, *amor quo quis amatorem amplectitur.* Conv. 213. D: ὡς ἐγὼ τὴν τούτου μανίαν τε καὶ φιλεραστίαν πάνυ ὀῤῥωδῶ.

φιλέταιρος, ὁ ἡ, *amicorum studiosus.* Lys. 211. E: οὕτως ἐγὼ φιλέταιρός τίς εἰμι.

φιλήκοος, ὁ ἡ, *audiendi cupidus.* Pol. VII. 535. D: μηδὲ φιλήκοος μηδὲ ζητητικός. Lys. 206. C. Euthyd. 274. C. 304. C. Pol. VIII. 548. E: φιλόμουσον ... καὶ φιλήκοον μέν, ῥητορικὸν δ' οὐδαμῶς. V. 475. D: οἵ τε ... φιλοθεάμονες ... οἵ τε φιλήκοοι cet. 476. B.

φιλία, ἡ, *amicitia.* Conv. 182. C: ὁ ... Ἀριστογείτονος ἔρως καὶ ἡ Ἁρμοδίου φιλία βέβαιος γενομένη. 195. C: φιλία καὶ εἰρήνη. Pol. X. 595. A: καίτοι φιλία γέ τίς με καὶ αἰδὼς ἐκ παιδὸς ἔχουσα περὶ Ὁμήρου ἀποκωλύει λέγειν. Legg. III. 698. C: καὶ διὰ ταῦτα πάνθ' ἡμῖν ξυνέπεσε πρὸς ἡμᾶς αὐτοὺς σφοδρὰ φιλία. VIII. 837. B: φιλία ... ἡ μὲν ἀπὸ ἐναντίων δεινὴ καὶ ἀγρία ... ἡ δ' ἐκ τῶν ὁμοίων ἥμερός τε καὶ κοινὴ διὰ βίου. Phaedr. 231. E: τὸν ἄξιον τῆς σῆς φιλίας. Polit. 304. E: εἴτε πολεμητέον εἴτε διὰ φιλίας ἀπαλλακτέον. Conv. 188. C: φιλίας θεῶν καὶ ἀνθρώπων δημιουργός. Pol. IX. 576. A: φιλίας ἀληθοῦς τυραννικὴ φύσις ἀεὶ ἄγευστος. Soph. 242. E: (ὡς τὸ ὄν) ἔχθρᾳ ... καὶ φιλίᾳ συνέχεται. Conv. 179. C: οὓς ἐκείνη τοσοῦτον ὑπερεβάλετο τῇ φιλίᾳ διὰ τὸν ἔρωτα ὥστε cet. 192. C: ἐκπλήττονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι. Pol. IV. 442. C: τῇ φιλίᾳ καὶ ξυμφωνίᾳ. Phaedr. 237. C: πότερον ἐρῶντι ἢ μὴ μᾶλλον εἰς φιλίαν ἰτέον. 255. E: καλεῖ δὲ αὐτὸν καὶ οἴεται οὐκ ἔρωτα, ἀλλὰ φιλίαν εἶναι. Gorg. 508. A: καὶ

θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συνέχειν καὶ φιλίαν cet. Conv. 184. B: *γενναίαν φιλίαν.* 185. A: *ὡς ἀμείνων ἐσόμενος διὰ τὴν φιλίαν τοῦ ἐραστοῦ.* 209. C: *φιλίαν βεβαιοτέραν.* Pol. I. 351. D: *ἡ ... δικαιοσύνη ὁμόνοιαν καὶ φιλίαν (παρέχει).* III. 401. D: *εἰς ὁμοιότητά τε καὶ φιλίαν καὶ ξυμφωνίαν τῷ καλῷ λόγῳ ἄγουσα.* Legg. III. 699. C: *ταῦτ' οὖν αὐτοῖς πάντα φιλίαν ἀλλήλων ἐνεποίει.* VI. 759. B: *μιγνύντας πρὸς φιλίαν ἀλλήλοις δῆμον* cet. VII. 823. B: *πολλὴ ... καὶ ἡ κατὰ φιλίαν θηρεύουσα (θήρα).* IX. 862. D: *ἐκ διαφορᾶς εἰς φιλίαν ... καθιστάναι τοῖς νόμοις.* Epin. 976. B: *οὐδὲ γὰρ ἂν εἰδείη τις πνεύματος ὀργὴν οὐδὲ φιλίαν.* Lys. 214. D: *ὁ ... κακὸς οὔτ' ἀγαθῷ οὔτε κακῷ οὐδέποτε εἰς ἀληθῆ φιλίαν ἔρχεται.* Clit. 409. E: *τὴν ... ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν.* Ep. VII. 328. D: *εἰς φιλίαν τε καὶ ἑταιρείαν ἀλλήλοις καθιστάναι.* Lys. 220. B: *εἰς ὃ πᾶσαι αὗται αἱ λεγόμεναι φιλίαι τελευτῶσιν.* Legg. VI. 776. A: *ἐν ... ταῖς φιλίαις ἐὰν ... πόθος ἐνῇ τις, κολλᾷ καὶ συνδεῖ πάντα ἤθη.* Conv. 182. C: *οὐδὲ φιλίας ἰσχυρὰς καὶ κοινωνίας (ἐγγίγνεσθαι).* Clit. 409. D: *τὰς ... τῶν παίδων φιλίας καὶ τὰς τῶν θηρίων ... οὐκ ἀπεδέχετο εἶναι φιλίας.* **cupiditas.* Pol. IX. 581. A: *τὴν ἡδονὴν αὐτοῦ καὶ φιλίαν εἰ φαῖμεν εἶναι τοῦ κέρδους.*

φιλικός, ή, όν, amicum decens. Legg. XI. 919. A: *(ὁπόταν) φιλικὰ παράσχῃ ξένια* cet.

φιλικῶς, amice. Gorg. 485. E: *ἐγὼ ... πρὸς σὲ ἐπιεικῶς ἔχω φιλικῶς.* Lys. 211. A: *μάλα παιδικῶς καὶ φιλικῶς ... σμικρὸν πρός με λέγων ἔφη* cet.

φίλιος, α, ον, amicus; socius; φίλιος etiam dicitur Iupiter amicitiae praeses. Phaedr. 234. E: *εἰπὲ πρὸς Διὸς φιλίου.* Gorg. 500. B: *πρὸς φιλίου.* 519. E: *εἰπὲ πρὸς φιλίου.* Id. Euth. 6. B. De lege 321. C: *φέρε δὴ πρὸς Διὸς φιλίου* cet. Legg. IX. 876. E: *διανοηθεὶς ... κτεῖναί τινα φίλιον.* Alc. I. 109. D: *μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν.* Polit. 306. C: *πάντα ... ἀλλήλοις τά γε τῆς ἀρετῆς μόρια λέγεταί που φίλια.* Pol. III. 414. B: *τῶν τε ἔξωθεν πολεμίων τῶν τε ἐντὸς φιλίων* (v. *φίλων*). Ion. 535. D: *πλέον ἢ ἐν δισμυρίοις ἀνθρώποις ἑστηκὼς φιλίοις.* Conv. 221. B: *ἠρέμα παρασκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους.* Menex. 243. C: *λυσάμενοι ... τοὺς φιλίους.* Phaedr. 279. B: *ἔξωθεν ... ὅσα ἔχω τοῖς ἐντὸς εἶναί μοι φίλια.* Legg. III. 698. D: *ἀνάστατα ... ἔθνη φίλια πυρὶ καταφθείραντες.*

φιλίως, amice. Legg. VI. 768. E: *ταῦτα ἔτι μᾶλλον ἐκείνων εἴρηκας φιλίως.*

φίλιππος, ὁ ἡ, equos amans. Lys. 212. D: *οὐδ' ἄρα φίλιπποί εἰσιν, οὓς ἂν οἱ ἵπποι μὴ ἀντιφιλῶσιν.*

φιλόγελως, ὁ ἡ, libenter ridens. Pol. III. 388. E: *οὐδὲ φιλογέλωτάς γε δεῖ εἶναι.*

φιλογυμναστία, ἡ, exercitationum vel *palaestrae studium.*

Conv. 182. B: ἥ γε φιλοσοφία καὶ ἡ φιλογυμναστία. 205. D: ἢ κατὰ φιλογυμναστίαν ἢ κατὰ φιλοσοφίαν. Riv. 133. D: οἷον φιλογυμναστίαν οὐ μόνον ἡγεῖ καλὸν εἶναι, ἀλλὰ καὶ ἀγαθόν. E: ἆρ' οὖν καὶ ἐν τοῖς γυμνασίοις τὴν πολυπονίαν φιλογυμναστίαν ἡγεῖ εἶναι;

φιλογυμναστής, ὁ, *palaestrae studiosus.* Pol. VII. 535. D: ὅταν τις φιλογυμναστὴς ... καὶ φιλόθηρος ᾖ. VIII. 549. A. Riv. 134. A. Lys. 212. D: φιλογυμνασταί.

φιλογυμναστικός, ή, όν, *ad palaestrae studium propensus* vel *idoneus.* Pol. V. 456. A: ἡ δὲ ἀπόλεμος καὶ οὐ φιλογυμναστική (al. γυμναστική).

φιλογυμναστῶ, *exercitationibus* s. *palaestrae studeo.* Prot. 342. C: φιλογυμναστοῦσι. Pol. V. 452. B: ὅταν ῥυσοὶ καὶ μὴ ἡδεῖς τὴν ὄψιν ὅμως φιλογυμναστῶσι. Prot. 342. E: φιλογυμναστεῖν. Riv. 133. E: τοὺς φιλογυμναστοῦντας.

φιλογύναικες, οἱ, *mulierosi.* Conv. 191. D: φιλογύναικές τ' εἰσι cet.

φιλόδοξος, ὁ ἡ, *gloriae cupidus.* Pol. V. 480: φιλοδόξους καλοῦντες αὐτοὺς μᾶλλον ἢ φιλοσόφους. Ib. φιλοσόφους, ἀλλ' οὐ φιλοδόξους κλητέον.

φιλόδωρος, ὁ ἡ, *libenter largiens.* Conv. 197. D: φιλόδωρος εὐμενείας.

φιλοδώρως, *liberaliter.* Theaet. 146. D: γενναίως γε καὶ φιλοδώρως ... ἓν αἰτηθεὶς πολλὰ δίδως cet.

φιλοθεάμων, ὁ ἡ, *spectandi cupidus.* Pol. V. 475. D: οἱ ... φιλοθεάμονες. 476. B: οἱ ... φιλήκοοι καὶ φιλοθεάμονες. 475. E: τοὺς τῆς ἀληθείας ... φιλοθεάμονας. 476. A.

φιλόθηρος, ὁ ἡ, *venationis studiosus.* Pol. VII. 535. D. VIII. 549. A.

φιλοικτίρμων, ὁ ἡ, *misericors.* Menex. 244. E: ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστί (ἡ πόλις).

φίλοινος, ὁ ἡ, *vinosus.* Lys. 212. D: φίλοινοι. Pol. V. 475. A: τοὺς φιλοίνους οὐ τὰ αὐτὰ ταῦτα ποιοῦντας ὁρᾷς, πάντα οἶνον ἐπὶ πάσης προφάσεως ἀσπαζομένους;

φιλόκαλος, ὁ ἡ, *pulchri* et *honesti amans.* Phaedr. 248. D: φιλοσόφου ἢ φιλοκάλου. Critia 111. E: φιλοκάλων ... καὶ εὐφυῶν (γεωργῶν).

φιλοκέρδεια, ἡ, *lucri cupiditas.* Legg. I. 649. D.

φιλοκερδής, ὁ ἡ, *lucri cupidus.* Pol. IX. 582. A: ὁ φιλοκερδής. E. D: τοῦ φιλοκερδοῦς. 583. A. 582. B: τῷ ... φιλοκερδεῖ. De lucri cup. 225. B: τὸν φιλοκερδῆ. C. Pol. IX. 581. A: καλοῦντες αὐτὸ φιλοχρήματον καὶ φιλοκερδὲς ὀρθῶς ἂν καλοῦμεν. C. 586. D. De lucri cup. init. τίνες οἱ φιλοκερδεῖς; 226. E: ἄλλο τι οὖν οἵ γε φιλοκερδεῖς φιλοῦσι τὸ κέρδος; 225. A: ἀνοήτους λέγεις τοὺς φιλοκερδεῖς. 227. B.

φιλοκερδῶ, *lucrum facere cupio.* De lucri cup. 226. E: οἱ ... φιλοκερδοῦσιν. 225. B: φιλοκερδεῖν.

φιλοκύων, ὁ ἡ, *canes amans.* Lys. 212. D: φιλόκυνες.

φιλολογία, ἡ, *colloquendi* vel *disputandi cupiditas.* Theaet. 146. A: ἐγὼ ὑπὸ φιλολογίας ἀγροικίζομαι.

φιλόλογος, ὁ ἡ, *dicendi cupidus, disputandi studiosus.* Theaet. 161. A: φιλόλογός (al. φιλολόγος) γ' εἶ ἀτεχνῶς καὶ χρηστός. Pol. IX. 582. E: ἀνάγκη ... ἃ ὁ φιλόσοφός τε καὶ ὁ φιλόλογος ἐπαινεῖ, ἀληθέστατα εἶναι. Legg. I. 641. E: ὡς φιλόλογός (v. φιλολόγος) τέ ἐστι καὶ πολυλόγος (ἡ πόλις). Lach. 188. C: καὶ γὰρ ἂν δόξαιμι τῳ φιλόλογος εἶναι καὶ αὖ μισόλογος (v. φιλολόγος — μισολόγος). Phaedr. 236. E: ἀνδρὶ φιλολόγῳ. Lach. 188. E: φιλόλογον (v. φιλολόγον).

φιλομάθεια, ἡ, *discendi amor.* Pol. VI. 499. E: ἀπολυόμενος τὴν τῆς φιλομαθείας διαβολήν. Tim. 90. B: τῷ ... περὶ φιλομάθειαν ... ἐσπουδακότι.

φιλομαθής, ὁ ἡ, *discendi cupidus; cognitionis appetens.* Phaedr. 230. D: φιλομαθὴς γάρ εἰμι. Pol. VI. 490. A: ὅγε ὄντως φιλομαθής. VII. 535. D. Epin. 989. C. Pol. II. 376. B: τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν. 411. D: εἴ τι καὶ ἐνῆν αὐτοῦ φιλομαθὲς ἐν τῇ ψυχῇ. 376. C: φιλόσοφον καὶ φιλομαθῆ αὐτὸν δεῖν εἶναι. V. 475. C. VI. 485. D: τὸν ... τῷ ὄντι φιλομαθῆ πάσης ἀληθείας δεῖ εὐθὺς ἐκ νέου ὅτι μάλιστα ὀρέγεσθαι. IV. 435. E: τὸ φιλομαθές. IX. 581. B. Phaed. 82. D: γιγνώσκουσι ... οἱ φιλομαθεῖς ὅτι cet. 83. E: οἱ δικαίως φιλομαθεῖς. 67. B: τοὺς ὀρθῶς φιλομαθεῖς.

φιλομαθῶ, *discere cupio.* Legg. VII. 810. A: μηδ' αὐτῷ φιλομαθοῦντι μηδὲ μισοῦντι.

φιλομαντευτής, ὁ, *vaticinationum amans.* Legg. VII. 813. D: τοὺς σφόδρα φιλομαντευτὰς σεβόμενοι.

φιλόμουσος, ὁ ἡ, *Musarum* (h. e. artium liberalium s. humanitatis) *studiosus.* Phaedr. 259. B: φιλόμουσον ἄνδρα. Pol. VIII. 548. E: φιλόμουσον ... καὶ φιλήκοον.

φιλόμωμος, ὁ ἡ, *vituperandi cupidus.* Prot. 346. C. (Simon.).

φιλονεικία, ἡ, *certandi* vel *contentionis studium; contentio, aemulatio.* Legg. VIII. 834. C: ἔστω ... τούτων ... αὐτῶν ... ἅμιλλά τε καὶ φιλονεικία. Lach. 194. A: ἀλλά τίς με καὶ φιλονεικία εἴληφε πρὸς τὰ εἰρημένα. Polit. 294. D: φιλονεικίας ἕνεκα. Parm. 128. E. Pol. VIII. 548. D: ἕνεκα γε φιλονεικίας. Tim. 88. A: δι' ἐρίδων καὶ φιλονεικίας (sic Par. A. c. al. Vulg. φιλονεικιῶν) γιγνομένων. Legg. VII. 796. A: φιλονεικίας ἀχρήστου χάριν. IX. 860. D: φιλονεικίας ἢ φιλοτιμίας ἕνεκα. Menex. 243. B: τὸ εἰς τοσοῦτον φιλονεικίας ἐλθεῖν πρὸς τὴν πόλιν τοὺς ἄλλους Ἕλληνας ὥστε cet. Lys. 215. D: φθόνου τε καὶ φιλονεικίας καὶ ἔχθρας ἐμπίπλασθαι. Gorg. 515. B: ἀλλ' οὐ φιλονεικίᾳ γε ἐρωτῶ. Legg. XI. 938. C: ἐὰν τις φιλονεικίᾳ κριθῇ δὶς τὸ τοιοῦτον δρᾶν, τεθνάτω. Parm. 128. D: διὰ τοιαύτην ... φιλονεικίαν

ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη. Pol. VIII. 555. A: *ξυμπαρακαλεῖν ἐπὶ ξυμμαχίαν τε καὶ φιλονεικίαν.* IX. 586. C: *βίᾳ διὰ φιλονεικίαν.* Legg. X. 907. B: *διὰ φιλονεικίαν τῶν κακῶν ἀνθρώπων.* Alc. I. 122. C: (*εἰς*) *φιλονεικίαν καὶ φιλοτιμίας τὰς Λακεδαιμονίων.* Pol. VIII. 548. C: *φιλονεικίαι καὶ φιλοτιμίαι.* Tim. 90. B: *τῷ ... περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετευτακότι.* Legg. III. 677. B.

φιλόνεικος, ὁ ἡ, *promtus ad contendendum* vel *certandum.* Prot. 336. E: *Ἀλκιβιάδης δὲ ἀεὶ φιλόνεικός ἐστι πρὸς ὃ ἂν ὁρμήσῃ.* Gorg. 515. B: *φιλόνεικος εἶ.* C. Pol. IX. 582. E: *ὁ φιλότιμός τε καὶ ὁ φιλόνεικος* (v. *φιλ.*). VIII. 550. B: *τὴν ἐν αὑτῷ ἀρχὴν παρέδωκε τῷ ... φιλονείκῳ καὶ θυμοειδεῖ.* 545. A: *τὸν φιλόνεικόν τε καὶ φιλότιμον.* IX. 581. C: *εἰ ... φιλόνεικον αὐτὸ καὶ φιλότιμον προςαγορεύομεν, ἦ ἐμμελῶς ἂν ἔχοι;* 586. D. Tim. 70. A: *τὸ μετέχον ... τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν.* Pol. VIII. 551. A: *ἀντὶ ... φιλονείκων καὶ φιλοτίμων ἀνδρῶν ... φιλοχρήματοι τελευτῶντες ἐγένοντο.*

φιλονεικῶ, *ambitiose contendo* et simpl. *contendo; contente dico.* Phil. 14. B: *νῦν γὰρ οὐ δήπου πρός γε αὐτὸ τοῦτο φιλονεικοῦμεν ὅπως* cet. Legg. V. 731. A: *φιλονεικείτω ... ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως.* Phil. 50. B: *εἰ καί τις φιλονεικοῖ πάνυ πρὸς τἀναντία.* Prot. 360. E: *φιλονεικεῖν μοι ... δοκεῖς ... τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον.* Pol. I. 338. A: *προςεποιεῖτο ... φιλονεικεῖν πρὸς τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον.* Legg. VII. 820. C: *φιλονεικεῖν ἐν ταῖς τούτων ἀξίαισι σχολαῖς.* Riv. 134. C. Pol. VI. 499. E: *ἐὰν αὐτοῖς μὴ φιλονεικῶν, ἀλλὰ παραμυθούμενος ... ἐνδεικνύῃ* cet. Gorg. 457. E: *οὐ πρὸς τὸ πρᾶγμα φιλονεικοῦντα λέγειν τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ.* D: *φιλονεικοῦντας, ἀλλ' οὐ ζητοῦντας τὸ προκείμενον ἐν τῷ λόγῳ.* Ep. VII. 330. A: *θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον.* Legg. XI. 933. C: *ἢ μηδέποτ' ἀριστείων πέρι φιλονεικήσῃ.* X. 907. E: *τούτου γε μὴν ἕνεκα ... πεφιλονείκηνται* (*οἱ λόγοι*), *μὴ* cet.

φιλονείκως, cum v. *ἔχειν contendere.* Gorg. 505. E: *χρῆναι πάντας ἡμᾶς φιλονείκως ἔχειν πρὸς τὸ εἰδέναι τὸ ἀληθὲς* cet. Phaed. 91. A: *οὐ φιλοσόφως ἔχειν, ἀλλ' ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως* (ubi est vern. *rechthaberisch*).

φιλοξενία, ἡ, *hospitalitas.* Legg. XII. 953. A: *καταλύσεις ... φιλοξενίαις ἀνθρώπων παρεσκευασμένας.*

φιλοπαίγμων, vid. seq.

φιλοπαίσμων, ὁ ἡ, *ioci amans.* Pol. V. 452. E: *εἴτε τις φιλοπαίσμων* (v. *φιλοπαίγμων*) *εἴτε σπουδαστικὸς ἐθέλει ἀμφισβητῆσαι.* Crat. 406. C: *φιλοπαίσμονες* (v. *φιλοπαίγμονες*) *γὰρ καὶ οἱ θεοί.*

φιλόπαις, ὁ, *puerorum amator.* Pol. V. 474. D: *τὸν φιλόπαιδα καὶ ἐρωτικόν.*

φιλοποιητής, ὁ, poëtarum amicus. Pol. X. 607. D: ὅσοι μὴ ποιητικοί, φιλοποιηταὶ δέ.

φιλοπόλεμος, ὁ ἡ, belli amans. Tim. 24. D: ἅτ' οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα.

φιλόπολις, ὁ ἡ, civitatis amans vel studiosus. Legg. III. 694. C: στρατηγόν τε ἀγαθὸν ... καὶ φιλόπολιν. Apol. 24. B: τὸν ἀγαθόν τε καὶ φιλόπολιν. Pol. V. 470. D: οὐδέτεροι αὐτῶν φιλοπόλιδες. VI. 502. E: δεῖν αὐτοὺς φιλοπόλιδας ... φαίνεσθαι.

φιλοπονία, ἡ, laborum toleratio. Def. 412. C: φιλ. ἕξις ἀποτελεστικὴ οὗ ἂν προέληται. Pol. VII. 535. C: φιλοπονίᾳ οὐ χωλὸν δεῖ εἶναι τὸν ἁψόμενον. D: χωλὸς δὲ καὶ ὁ τἀναντία τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν. Alc. I. 122. C: (εἰς) καρτερίαν καὶ φιλοπονίαν.

φιλόπονος, ὁ ἡ, laborum amans vel patiens. Phaedr. 248. D: εἰς φιλοπόνου γυμναστικοῦ (γονὴν φυτεῦσαι). Legg. VII. 824: ἀλλ' οὐ φιλοπόνου ψυχῆς νίκῃ χειρουμένων τὴν ἄγριον τῶν θηρίων ῥώμην. Pol. VII. 535. C: ἄῤῥατον καὶ πάντῃ φιλόπονον ζητητέον. D: τὰ μὲν ἡμίσεα φιλόπονον, τὰ δὲ ἡμίσεα ἄπονον.

φιλοπονῶ, libenter laboro vel tolero. Phil. VII. 535. D: ὅταν τις ... πάντα τὰ διὰ τοῦ σώματος φιλοπονῇ.

φιλοποσία, ἡ, vinolentia. Phaed. 81. E: τοὺς ... ὕβρεις καὶ φιλοποσίας (v. φιλοτησίας) μεμελετηκότας.

φιλοπραγμοσύνη, ἡ, negotiorum cupiditas. Pol. VIII. 549. C: φεύγοντος τάς τε τιμὰς καὶ ἀρχὰς καὶ δίκας καὶ τὴν τοιαύτην πᾶσαν φιλοπραγμοσύνην.

φιλόρτυξ, ὁ ἡ, coturnicum amans. Lys. 212. D: οὐδὲ φιλόρτυγες.

φίλος, η, ον, amicus; carus, etiam cupidus; neutr. amicum, h. e. commodum, placet. Gorg. 447. B: φίλος γάρ μοι Γοργίας. 510. B: φίλος ... ὁ ὅμοιος τῷ ὁμοίῳ. Phil. 25. B: δοκεῖ τις ... αὐτῶν φίλος ἡμῖν νῦν δὴ γεγονέναι. Pol. VI. 487. A: φίλος τε καὶ ξυγγενὴς ἀληθείας cet. Tim. 20. E: ἦν ... οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου. 53. D: ὃς ἂν ἐκείνῳ (τῷ θεῷ) φίλος ᾖ. Lys. 212. A: πότερος ποτέρου φίλος γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου, ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος: Legg. III. 701. D: ἑαυτῇ φίλη (ἡ πόλις). IV. 716. C: τίς ... πρᾶξις φίλη καὶ ἀκόλουθος θεῷ; Prot. 353. B: εἴ σοι φίλον. Phaedr. 246. D: ὅπῃ τῷ θεῷ φίλον. Phaed. 116. A: ὅπως ἂν σοι φίλον ᾖ. Theaet. 162. B: εἰ οὕτως ... σοὶ φίλον, οὐδ' ἐμοὶ ἐχθρόν. Phil. 12. C: ὅπῃ ἐκείνῃ φίλον. Pol. VI. 506. E: εἰ καὶ ὑμῖν φίλον. Legg. I. 642. D: τοσαῦτα ὁπόσα σοι φίλον (λέγειν). X. 886. D: ὅπῃ θεοῖσι φίλον. Apol. 19. A. al. Tim. 88. E: φίλον παρὰ φίλον τεθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. Legg. II. 669. E: πᾶν ὁπόσον ... φωνῆς θηριώδους σφόδρα φίλον. V. 730. C: ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον.

Pol. IX. 574. B: *ἕνεκα νεωστὶ φίλης καὶ οὐκ ἀναγκαίας ἑταίρας γεγονυίας.* Phaedr. 255. B: *κακὸν κακῷ φίλον (εἶναι).* Ib. *ἀγαθὸν μὴ φίλον ἀγαθῷ εἶναι.* Pol. II. 376. B: *ἣ … ὄψιν οὐδενὶ ἄλλῳ φίλην καὶ ἐχθρὰν διακρίνει, ἢ τῷ* cet. III. 404. D: *Κορινθίαν κόρην φίλην εἶναι ἀνδράσι μέλλουσιν εὖ σώματος ἕξειν.* IX. 575. D: *τὴν πάλαι φίλην μητρίδα τε … καὶ πατρίδα.* Legg. III. 693. B: *ἑαυτῇ φίλην (τὴν πόλιν).* Soph. 242. E: *τοτὲ μὲν ἓν εἶναί φασι τὸ πᾶν καὶ φίλον ὑπ' Ἀφροδίτης* cet. Pol. X. 604. D: *δειλίας φίλον.* Legg. III. 697. D: *ὅτι … τὸ φίλον ἀπώλεσαν καὶ τὸ κοινὸν ἐν τῇ πόλει.* V. 739. B: *εἴ τις ἄλλος ἂν … ἐθελήσειεν … ἀπονείμασθαι τὸ φίλον αὐτῷ τῆς αὐτοῦ πατρίδος.* Pol. I. 336. E: *οἵου γε σύ, ὦ φίλε.* V. 473. D: *ὦ φίλε Γλαύκων.* al. Lys. 207. C: *φίλω γάρ ἐστον.* Conv. 193. B: *φίλοι … γενόμενοι … τῷ θεῷ.* Pol. X. 621. C: *ἵνα καὶ ἡμῖν αὐτοῖς φίλοι ὦμεν καὶ τοῖς θεοῖς.* Menex. 247. B: *φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε.* Soph. 242. D: *φίλα γιγνόμενα.* Tim. 65. E: *φίλα μᾶλλον ἡμῖν φαντάζεται.* Phaedr. ad fin. *κοινὰ γὰρ τὰ τῶν φίλων.* Pol. IV. 424. A: *κοινὰ τὰ φίλων ποιεῖσθαι.* V. 449. C: *ὅτι κοινὰ τὰ φίλων ἔσται.* Legg. V. 739. C. Lys. 207. C. Pol. I. 332. A: *τοῖς … φίλοις οἴεται ὀφείλειν τοὺς φίλους ἀγαθὸν … τι δρᾶν.* D: *ἡ τοῖς φίλοις τε καὶ ἐχθροῖς ὠφελείας τε καὶ βλάβας ἀποδιδοῦσα.* Prot. 313. A: *εἰς συμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους.* Soph. 248. A: *τοὺς τῶν εἰδῶν φίλους.* Pol. I. 328. D: *ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους.* IX. 589. B: *φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὐτῷ.* Legg. IX. 873. C: *τὸν … πάντων οἰκειότατον καὶ λεγόμενον φίλτατον ὃς ἂν ἀποκτείνῃ, τί χρὴ πάσχειν; λέγω δὲ ὃς ἂν ἑαυτὸν κτείνῃ* cet. Crat. 434. E: *ὦ φίλτατε.* Conv. 173. D. Plur. *τὰ φίλτατα* designat eos qui nobis carissimi sunt (ut parentes, ut liberi al.), et id quod plurimi facimus vel quod praestantissimum est (ut virtus). Prot. 313. E: *μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς τε καὶ κινδυνεύῃς.* Gorg. 513. A: *σὺν τοῖς φιλτάτοις* (i. e. cum damno virtutis) *ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει.* Legg. I. 650. A: *οὕτως ἐν τοῖς φιλτάτοις κινδυνεύσαντα.*

φιλόσιτος, ὁ ἡ, cibi appetens. Pol. V. 475. C: *οὔτ' ἐπιθυμεῖν σιτίων οὐδὲ φιλόσιτον, ἀλλὰ κακόσιτον εἶναι.*

φιλοσοφία, ἡ, philosophia; etiam *discendi studium* vel *cupiditas.* Phaedr. 239. B: *τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν.* Gorg. 484. C: *φιλοσοφία γάρ τοί ἐστιν … χαρίεν, ἄν τις αὐτῆς μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ.* Pol. V. 473. D: *(ἐὰν) τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία.* Euthyd. 288. D: *ἡ … φιλοσοφία κτῆσις ἐπιστήμης.* Locr. 104. A: *μωσικὰ … καὶ ἁ ταύτας ἁγεμὼν φιλοσοφία, ἐπὶ τᾷ τᾶς ψυχᾶς ἐπανορθώσει ταχθεῖσαι ὑπὸ θεῶν τε καὶ νόμων* cet. Def. 414. B: *φιλ. τῆς τῶν ὄντων ἀεὶ*

ἐπιστήμης ὄρεξις. Phaed. 61. A: *ὡς φιλοσοφίας ... οὔσης μεγίστης μουσικῆς.* Pol. VII. 521. B: *τὸν (βίον) τῆς ἀληθινῆς φιλοσοφίας.* Tim. 47. A: *ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔθ' ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν.* Phaed. 68. C: *(τοῖς) ἐν φιλοσοφίᾳ ζῶσιν.* Tim. 88. C: *μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον.* Lys. 213. D: *ἐκείνου ἡσθεὶς τῇ φιλοσοφίᾳ.* Prot. 335. D: *ἀεὶ ... ἔγωγέ σου τὴν φιλοσοφίαν ἄγαμαι.* Gorg. 482. A: *τὴν φιλοσοφιαν, τὰ ἐμὰ παιδικά.* Pol. VII. 521. C: *ψυχῆς περιαγωγὴ ... εἰς ἀληθινὴν τοῦ ὄντος οὖσαν ἐπάνοδον, ἣν δὴ φιλοσοφίαν ἀληθῆ φήσομεν εἶναι.* Ep. VII. 326. A: *ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν.* X. 358. C: *τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ ὑγιές, τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν.* Theaet. 172. C: *οἱ ἐν ταῖς φιλοσοφίαις πολὺν χρόνον διατρίψαντες.*

φιλόσοφος, ὁ ἡ, *philosophus*, h. e. *sapientiae studiosus s. appetens;* adiect. (ut Lat. *philosophus*) absol. et c. art. etiam substantivi partes agit. Phaed. 64. E: *ὅ γε ὡς ἀληθῶς φιλόσοφος.* 68. B: *ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος.* Pol. II. 375. E: *πρὸς τῷ θυμοειδεῖ ἔτι προσγενέσθαι φιλόσοφος τὴν φύσιν.* III. 410. E: *τὸ ἥμερον οὐχ ἡ φιλόσοφος ἂν ἔχοι φύσις —;* Tim. 24. D: *φιλόσοφος ἡ θεὸς οὖσα.* Pol. II. 376. B: *ὡς ἀληθῶς φιλόσοφον (τὸ πάθος αὐτοῦ τῆς φύσεως).* Ib. *τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν.* VI. 501. E: *πρὶν ἂν πόλεως τὸ φιλόσοφον γένος ἐγκρατὲς γένηται.* Phaed. 64. D: *φαίνεταί σοι φιλοσόφου ἀνδρὸς* (nos: *eines Philosophen*) *εἶναι ἐσπουδακέναι* cet. 65. C: *ἡ τοῦ φιλοσόφου ψυχή.* Euthyd. 305. C: *μεθόρια φιλοσόφου τε ἀνδρὸς καὶ πολιτικοῦ.* Conv. 218. B: *πάντες γὰρ κεκοινωνήκατε τῆς φιλοσόφου μανίας τε καὶ βακχείας.* Pol. VI. 490. C: *τὸν ἄλλον τῆς φιλοσόφου φύσεως χορόν.* 495. A: *αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη.* VII. 527. B: *φιλοσόφου διανοίας.* Ep. VII. 329. B: *τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον (ἐμαυτόν).* 330. B: *τῆς φιλοσόφου ζωῆς.* Phil. 67: *τῶν ἐν μούσῃ φιλοσόφῳ μεμαντευμένων ... λόγων.* Pol. VI. 494. A: *τίνα ὁρᾷς σωτηρίαν φιλοσόφῳ φύσει —;* IX. 586. E: *τῷ φιλοσόφῳ ... ἑπομένης ἁπάσης τῆς ψυχῆς* cet. Phaedr. 278. D: *τὸ δὲ ἢ φιλόσοφον ἢ τοιοῦτόν τι (καλεῖν) μᾶλλόν τε ἂν αὐτῷ ἁρμόττοι* cet. Conv. 204. B: *φιλόσοφον δὲ ὄντα μεταξὺ εἶναι σοφοῦ καὶ ἀμαθοῦς.* Pol. V. 475. B: *οὐκοῦν καὶ τὸν φιλόσοφον σοφίας φήσομεν ἐπιθυμητὴν εἶναι ... πάσης;* VI. 486. A: *φύσιν φιλόσοφον.* B: *ψυχὴν φιλόσοφον.* Tim. 18. A. Pol. III. 411. E: *ἐπὶ τὸ θυμοειδὲς καὶ τὸ φιλόσοφον.* VI. 494. A: *φιλόσοφον μὲν ἄρα ... πλῆθος ἀδύνατον εἶναι.* IX. 581. B: *φιλομαθὲς ... καὶ φιλόσοφον καλοῦντες αὐτὸ κατὰ τρόπον ἂν καλοῖμεν.* Phaed. 64. B: *οἱ ὡς ἀληθῶς φιλόσοφοι.* Pol. V. 473. C: *ἐὰν μὴ ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν* cet. VI. 484. B: *ἐπειδὴ φιλόσοφοι*

... *οἱ τοῦ ἀεὶ κατὰ ταὐτὰ ὡςαύτως ἔχοντος δυνάμενοι ἐφάπτεσθαι* cet. Phaedr. 257. B: (*ἵνα*) *ἁπλῶς πρὸς Ἔρωτα μετὰ φιλοσόφων λόγων τὸν βίον ποιῆται.* Pol. VI. 485. A: *τοῦτο ... τῶν φιλοσόφων φύσεων πέρι ὡμολογήσθω ἡμῖν.* V. 475. E: *ὁμοίους ... φιλοσόφοις.* VI. 486. D: *ἐπιλήσμονα ἄρα ψυχὴν ἐν ταῖς ἱκανῶς φιλοσόφοις μή ποτε ἐγκρίνωμεν.* V. 475. E: *τοὺς δὲ ἀληθινοὺς* (*φιλοσόφους*) ... *τίνας λέγεις; Τοὺς τῆς ἀληθείας ... φιλοθεάμονας.* 480: *τοὺς αὐτὸ ἄρα ἕκαστον τὸ ὂν ἀσπαζομένους φιλοσόφους, ἀλλ' οὐ φιλοδόξους κλητέον.* VI. 498. A: *οἱ φιλοσοφώτατοι ποιούμενοι.*

φιλοσοφῶ, *philosophor.* Conv. 203. E: *θεῶν οὐδεὶς φιλοσοφεῖ οὐδ' ἐπιθυμεῖ σοφὸς γενέσθαι· ἔστι γάρ.* 204. A: *οὐδ' αὖ οἱ ἀμαθεῖς φιλοσοφοῦσιν οὐδ' ἐπιθυμοῦσι σοφοὶ γενέσθαι.* Lys. 218. B. Ep. XIII. 360. E: *μάνθανε παρ' αὐτοῦ καὶ τἄλλα φιλοσόφει.* Pol. X. 619. D: *εἴ τις ἀεὶ ... ὑγιῶς φιλοσοφοῖ.* Gorg. 484. C: (*ἐὰν*) *πόῤῥω τῆς ἡλικίας φιλοσοφῇ.* Conv. 173. A: *οἰόμενος δεῖν πάντα μᾶλλον πράττειν ἢ φιλοσοφεῖν.* Riv. 137. A. Lys. 218. A: *κακὸν γὰρ καὶ ἀμαθῆ οὐδένα φιλοσοφεῖν.* 203. D: *φιλοσοφῶν διὰ παντὸς τοῦ βίου.* Soph. 253. E: *τῷ καθαρῶς τε καὶ δικαίως φιλοσοφοῦντι.* Apol. 28. E: *φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους.* Phaed. 64. B: *ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι.* 67. E: *τῷ ὄντι ἄρα ... οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι.* Phil. 56. D: *ἄλλην δ' αὖ* (*ἀριθμητικὴν*) *τὴν τῶν φιλοσοφούντων* (oppos. *τῶν πολλῶν*). 57. D: *τὴν τῶν ὄντως φιλοσοφούντων ὁρμήν.* Ep. VII. 326. A: *τὸ τῶν φιλοσοφούντων ὀρθῶς γε καὶ ἀληθῶς γένος.* Riv. 136. A: *τὸν πεφιλοσοφηκότα.* Ep. VII. 326. B: (*πρὶν ἂν*) *τὸ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν* (*γένος*) ... *ὄντως φιλοσοφήσῃ.* Pol. V. 473. D: (*ἐὰν μὴ*) *δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς.* Phaedr. 249. A: *πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως* (*ψυχή*). Pol. VI. 495. A: *ἔστιν οὖν ὅπως ὁ τοιοῦτος φιλοσοφήσει;* Riv. 133. C: *τὸν μέλλοντα φιλοσοφήσειν.* Euthyd. 288. D: *φιλοσοφητέον ὡμολογήσαμεν τελευτῶντες.*

φιλοστοργῶ, *tenero amore aliquem amplector.* Legg. XI. 927. B: *τούτους οἱ παῖδες παίδων φιλοστοργοῦντες ζῶσι μεθ' ἡδονῆς.*

φιλοσώματος, *ὁ ἡ*, *corpori indulgens.* Phaed. 68. B: *ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος.*

φιλοτεχνία, *ἡ*, *artium studium.* Critia 109. C: *ἅμα δὲ φιλοσοφίᾳ φιλοτεχνίᾳ τε ἐπὶ τὰ αὐτὰ ἐλθόντες.*

φιλότεχνος, *ὁ ἡ*, *artium studiosus.* Pol. V. 476. A: *φιλοτέχνους καὶ πρακτικούς.*

φιλοτεχνῶ, *in artes incumbo.* Prot. 321. E: *ἐν ᾧ ἐφιλοτεχνείτην* (Minerva et Vulcanus).

φιλότης, *ἡ*, *amicitia.* Legg. VI. 757. A: *ὡς ἰσότης φιλότητα ἀπεργάζεται.* Ep. VI. 323. B: *εἰς τὴν προϋπάρχου-*

σαν φιλότητά τε καὶ κοινωνίαν. Voc. ὦ φιλότης, i. q. ὦ φίλε. Phaedr. 228. D.

φιλοτησία, vid. φιλοποσία.

φιλοτιμία, ἡ, *ambitio, ambitiosa contentio* vel *appetitio*. Legg. VIII. 834. B: οὔτε τις φιλοτιμία πρὸς ταῦτα οὐδενὶ γίγνοιτ' ἂν λόγον ἔχουσα. Ep. VII. 338. E: ἅμα δ' ἡ φιλοτιμία κατήπειγεν αὐτόν. Phaedr. 257. C: τάχ' οὖν ἂν ὑπὸ φιλοτιμίας ἐπίσχοι ἡμῖν ἂν τοῦ γράφειν. Parm. 128. E. Pol. VIII. 555. A: ἢ τινος νίκης ἢ ἄλλης φιλοτιμίας τῶν καλῶν. X. 620. C: φιλοτιμίας λελωφηκυῖαν. Legg. IX. 860. E. Ep. III. 320. A: οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας. VII. 344. E: φιλοτιμίας ... αἰσχρᾶς ... εἴπερ ἕνεκα. Legg. I. 632. C: ἀλλὰ μὴ πλούτῳ μηδὲ φιλοτιμίᾳ (πάντα ταῦτα ξυνδήσας). Conv. 178. D: ἐπὶ ... τοῖς καλοῖς φιλοτιμίαν. Pol. VIII. 553. C. IX. 586. A: φθόνῳ διὰ φιλοτιμίαν. VIII. 548. C: φιλονεικίαι καὶ φιλοτιμίαι. Alc. I. 122. C: φιλοτιμίας τὰς Λακεδαιμονίων.

φιλότιμος, ὁ ἡ, *honoris cupidus, ambitiosus*. Prot. 343. C: ἅτε φιλότιμος ὢν ἐπὶ σοφίᾳ. Phaed. 68. C: φιλοχρήματος καὶ φιλότιμος. Pol. VIII. 549. A: φιλάρχος ... καὶ φιλότιμος. 550. B: ἐγένετο ὑψηλόφρων τε καὶ φιλότιμος ἀνήρ. Legg. V. 744. E: φιλότιμος ἐπ' ἀρετῇ. Ep. VII. 338. D: φιλότιμός τε θαυμαστῶς. Legg. VIII. 841. C: τό τε θεοσεβὲς ἅμα καὶ φιλότιμον. Pol. VIII. 553. D: ἐκ φιλοτίμου νέου εἰς φιλοχρήματον (μεταβολή). IX. 582. D. Legg. IX. 870. C: φιλοτίμου ψυχῆς ἕξις. Phaedr. 256. A: φιλοτίμῳ (διαίτῃ). Pol. I. 347. B: τὸ φιλότιμόν τε καὶ φιλάργυρον εἶναι. VIII. 545. A. B: τὴν φιλότιμον σκεπτέον πολιτείαν. Critia 107. A: παραίτησιν εὖ μάλα φιλότιμον. Pol. IX. 581. B: εἰ ... φιλόνεικον αὐτὸ καὶ φιλότιμον προσαγορεύοιμεν, ἦ ἐμμελῶς ἂν ἔχοι; Phaed. 82. C: ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι. Apol. 23. D. Pol. VIII. 551. A: ἀντὶ ... φιλονείκων καὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ ... τελευτῶντες ἐγένοντο. V. 475. A: φιλοτίμους.

φιλοτιμοῦμαι, *ambitiose appeto* et in univ. *aliquid facio, contendo* al.; etiam *glorior*. Pol. I. 336. C: μηδὲ φιλοτιμοῦ ἐλέγχων (*nec ambitiose redargue*). VIII. 553. D: φιλοτιμεῖσθαι μηδ' ἐφ' ἑνὶ ἄλλῳ, ἢ ἐπὶ χρημάτων κτήσει. Phaedr. 232. A: φιλοτιμούμενος ἐνδείκνυσθαι πρὸς ἅπαντας ὅτι cet. Alc. II. 146. A: φιλοτιμούμενον. Conv. 178. E: φιλοτιμούμενοι πρὸς ἀλλήλους. Ep. VII. 338. E: δοκεῖ μοι ... παντάπασι φιλοτιμηθῆναι μή ποτε cet. Lach. 182. B: ταῦτα λαβὼν καὶ φιλοτιμηθεὶς ἐν αὐτοῖς. Phaedr. 234. A: οὐδὲ οἱ διαπραξάμενοι πρὸς τοὺς ἄλλους φιλοτιμήσονται.

φιλοτίμως, *ambitiose*. Riv. 133. A: ἀπεκρίνατό γέ μοι καὶ μάλα φιλοτίμως. Charm. 162. C: φιλοτίμως ... πρὸς τοὺς παρόντας ἔχων.

φιλοφρονοῦμαι, *amice* vel *comiter accipio, excipio, pro-*

sequor al. Legg. V. 738. D: (ὅπως ἂν) φιλοφρονῶνται ... ἀλλήλους μετὰ θυσιῶν. XII. 952. D: τὸν δ' εἰςεπιδημήσαντα ... χρὴ φιλοφρονεῖσθαι. Ep. XIII. 360. A: φιλοφρονούμενος εἶπες εὖ τι ῥῆμα ἔχον. Legg. III. 678. E: ἐφιλοφρονοῦντο ἀλλήλους δι' ἐρημίαν. **amplector*. Legg. II. 669. B: ἤθη κακὰ φιλοφρονούμενος. **blandior*, *indulgeo*. Legg. XI. 935. C: πληγαῖς ἐξείργων τοὺς θυμῷ, ἑτέρῳ κακῷ, φιλοφρονουμένους. Etiam res dicitur φιλοφρονεῖσθαι quae *blanditur*, h. e. quae *probatur* vel *placet*. Legg. VII. 820. E: καθάπερ ἐνέχυρα λύσιμα ἐκ τῆς ἄλλης πολιτείας, ἐὰν ἢ τοὺς θέντας ἡμᾶς ἢ καὶ τοὺς θεμένους ὑμᾶς μηδαμῶς φιλοφρονῆται.

φιλοφρόνως, *comiter*. Critia 120. E: πρὸς τὸ ξυγγενὲς θεῖον φιλοφρόνως εἶχον. Legg. VI. 765. A. 771. A: φιλοφρόνως δεχόμενοι. VIII. 835. E: ὁμιλοῦντας φιλοφρόνως ἀλλήλοις. IX. 880. E.

φιλοφροσύνη, ἡ, *benevolentia*. Legg. I. 628. C: εἰρήνη ... πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνη. 640. B: φίλων ... ἐν εἰρήνῃ πρὸς φίλους κοινωνησόντων φιλοφροσύνης. V. 740. E: διὰ φιλοφροσύνην τὴν τῶν ξυνοικούντων ἀλλήλοις.

φιλοχρηματία, ἡ, *pecuniae cupiditas*. Pol. III. 391. C: ἀνελευθερίαν μετὰ φιλοχρηματίας. Legg. XI. 938. B: εἴτε φιλοχρηματίᾳ δοκεῖ δρᾶν τὸ τοιοῦτον εἴτε φιλονεικίᾳ. V. 747. B: ἐὰν ... ἀφαιρῆταί τις τὴν ἀνελευθερίαν καὶ φιλοχρηματίαν ἐκ τῶν ψυχῶν τῶν μελλόντων αὐτὰ ... ὀνησίμως κτήσεσθαι.

φιλοχρηματιστής, ὁ, *pecuniae faciendae studiosus*. Pol. VIII. 551. A: ἀντὶ ... φιλονείκων καὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ καὶ φιλοχρήματοι τελευτῶντες ἐγένοντο.

φιλοχρήματος, ὁ ἡ, *pecuniae cupidus*, *avidus*; *avarus*. Phaed. 68. C: φιλοχρήματος καὶ φιλότιμος. Pol. VI. 485. E. 486. B: ὁ κόσμιος καὶ μὴ φιλοχρήματος μηδ' ἀνελεύθερος cet. Ep. VII. 335. A: ὢν ὁ φιλοχρήματος πένης τε ἀνὴρ τὴν ψυχὴν οὔτε ἀκούει cet. Pol. V. 469. D: ἀνελεύθερον δὲ οὐ δοκεῖ καὶ φιλοχρήματον νεκρὸν συλᾶν —; VIII. 549. B: τῷ ... μετέχειν τῆς τοῦ φιλοχρημάτου φύσεως. Pol. III. 390. E: οὕτω φιλοχρήματον εἶναι ὥστε cet. IV. 436. A: τὸ φιλοχρήματον. VIII. 553. C: τὸ ἐπιθυμητικόν τε καὶ φιλοχρήματον. IX. 580. E. 581. A. Phaed. 82. C: ὥσπερ οἱ πολλοὶ καὶ φιλοχρήματοι. Pol. VIII. 551. A. Legg. VIII. 832. D. Pol. III. 390. D: οὐδὲ φιλοχρημάτους (ἐατέον εἶναι τοὺς ἄνδρας). VIII. 551. E.

φιλοχρηματῶ, *pecuniae cupidus sum*. Legg. V. 737. A: διὰ τοῦ μὴ φιλοχρηματεῖν.

φιλοχρημονῶ, *pecuniae cupiditate teneor*. Legg. V. 729. A: μὴ δή τις φιλοχρημονείτω παίδων γ' ἕνεκα.

φιλοχρημοσύνη, ἡ, *pecuniae cupiditas*. Legg. XI. 938.

C: *φιλοχρηματίας ἕνεκα τῆς ἐκ παντὸς τρόπου παρ' αὐτῷ τιμωμένης.*

φιλοψευδής, ὁ ἡ, mendacii amans. Pol. VI. 485. D: *ἦ οὖν δυνατὸν εἶναι τὴν αὐτὴν φύσιν φιλόσοφόν τε καὶ φιλοψευδῆ;*

φιλόψογος, ὁ ἡ, libenter vituperans. Prot. 346. C: *ἐγὼ ... οὐ διὰ ταῦτά σε ψέγω, ὅτι εἰμὶ φιλόψογος.*

φιλοψυχία, ἡ, vitae amor. Apol. 37. C: *πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, εἰ* cet. Legg. XII. 944 E: *φιλοψυχίας ἕνεκα, ἵνα τὸν ἐπίλοιπον βίον μὴ κινδυνεύῃ.*

φιλοψυχῶ, vitae amore teneor. Gorg. 512. E: *οὐ φιλοψυχητέον.*

φιλῶ, diligo. Prot. 335. D: *νῦν ἐπαινῶ καὶ φιλῶ.* Phaedr. 228. D: *ὡς ἐγώ σε πάνυ μὲν φιλῶ* cet. Pol. III. 412. D: *τοῦτό γ' ἂν μάλιστα φιλοῖ, ᾧ ξυμφέρειν ἡγοῖτο τὰ αὐτὰ καὶ ἑαυτῷ.* Lys. 212. A: *ἐπειδάν τίς τινα φιλῇ.* Phaedr. 231. C: *ὅτι τούτους μάλιστά φασι φιλεῖν ὧν ἂν ἐρῶσι.* Pol. I. 334. C: *εἰκὸς ... οὓς ἄν τις ἡγῆται χρηστούς, φιλεῖν, οὓς δ' ἂν πονηρούς, μισεῖν.* V. 479. E: *ἀσπάζεσθαί τε καὶ φιλεῖν.* 480. X. 607. A. III. 412. D: *κήδοιτο δέ γ' ἄν τις μάλιστα τούτου ὃ τυγχάνοι φιλῶν.* V. 474. C: *οὐ τὸ μὲν φιλοῦντα ἐκείνου, τὸ δὲ μή, ἀλλὰ πᾶν στέργοντα.* Lys. 212. B: *φιλοῦντες.* Legg. IX. 859. B: *ἐν πατρός τε καὶ μητρὸς σχήμασι φιλούντων ... φαίνεσθαι τὰ γεγραμμένα, ἢ κατὰ τύραννον καὶ δεσπότην.* Lys. 210. C: *ἆρ' οὖν ... τις ἡμᾶς φιλήσει ἐν τούτοις ἐν οἷς ἂν ὦμεν ἀνωφελεῖς;* Theaet. 168. A: *σὲ μὲν διώξονται καὶ φιλήσουσιν, αὑτοὺς δὲ μισήσουσι* cet. Pol. X. 600. D: *ἐπὶ ταύτῃ τῇ σοφίᾳ οὕτω σφόδρα φιλοῦνται ὥστε* cet. Lys. 212. B: *ὁ φιλούμενος.* Ib. *τοῦ φιλουμένου.* Legg. V. 731. E: *τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν.* Conv. 201. C: *ὦ φιλούμενε Ἀγάθων.* Phaedr. 253. C: *τῷ φιληθέντι.* Etiam *concupisco.* De lucri cup. 226. E: *ἄλλο τι οὖν οἵ γε φιλοκερδεῖς φιλοῦσι τὸ κέρδος;* **osculor.* Phaedr. 256. A: *περιβάλλει τὸν ἐραστὴν καὶ φιλεῖ.* 255. E: *ἅπτεσθαι, φιλεῖν, συγκατακεῖσθαι.* Pol. V. 468. C: *ὃν ἂν βούληται φιλεῖν.* B: *τὸ φιλῆσαί τε καὶ φιληθῆναι ὑπὸ ἑκάστου.* **amo, i. e. soleo.* Phil. 37. B: *τῷ ... τρόπῳ δόξα ψευδής τε καὶ ἀληθὴς ἡμῖν φιλεῖ γίγνεσθαι;* Conv. 188. C: *πᾶσα γὰρ ἡ ἀσέβεια φιλεῖ γίγνεσθαι ἐὰν* cet. Pol. V. 467. B: *οἷα δὴ ἐν πολέμῳ φιλεῖ.* VI. 494. C: *φιλεῖ γοῦν ... οὕτω γίγνεσθαι.* VI. 497. B. Tim. 89. C: *μεγάλα ... νοσήματα φιλεῖ γίγνεσθαι.* Legg. IV. 711. A. Menex. 242. A: *ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν.* Conv. 188. B: *οἵ τε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων* cet. Pol. VIII. 549. E: *ὅσα καὶ οἷα φιλοῦσιν αἱ γυναῖκες περὶ τῶν τοιούτων ὑμνεῖν.* 565. E: *οἷα δὴ φιλοῦσιν.* Legg. VI. 778. A. Lach. 181. E: *ἐν οἷς δὴ φιλοῦσιν οἱ νέοι τὰς διατριβὰς ποιεῖσθαι ὅταν σχολὴν ἄγωσιν.* Legg.

III. 680. A: *οὔτε πω ἐφίλει κατὰ τούτους τοὺς χρόνους γίγνεσθαι τὸ τοιοῦτον.*

φίλως, *amice.* Epin. 988. C: *μὴ κατὰ νοῦν τοῖς σώφροσι λέγεσθαι μηδὲ φίλως.*

φίξ, i. q. *σφίγξ.* Crat. 414. D: *ὥσπερ καὶ τὴν σφίγγα ἀντὶ φιγγὸς* (v. *σφιγὸς*) *σφίγγα καλοῦσι.*

φιτύω, *procreo.* Pol. V. 461. A: *ὡς παῖδα φιτύοντος τῇ πόλει ὃς* cet. Critia 116. C: *ἐφίτυσαν ... τὸ τῶν δέκα βασιλειδῶν γένος.* IX. 879. D: *φιτῦσαι καὶ τεκεῖν.*

φλαῦρος, *α*, *ον*, (i. q. *φαῦλος*), *malus.* Soph. 227. D: *ὅσον ἂν ᾖ πού τι φλαῦρον.* Tim. 30. A: *φλαῦρον ... μηδὲν εἶναι κατὰ δύναμιν.* Men. 92. C: *εἴτε τι ἀγαθὸν ἔχει ἐν ἑαυτῷ εἴτε φλαῦρον.* De virt. 379. B: *ἵνα μή τι φλαῦρον ἡμῖν πάθοιεν* cet. Ep. VII. 348. D: *μηδὲν ἄλλο αὐτῷ φλαῦρον γίγνεσθαι.* E. XIII. 360. D: *οὐδεὶς οὐδὲν φλαῦρον ἔλεγε τὸν ἄνδρα.* Legg. X. 900. D: *ὁπόσα φλαῦρα.* Epin. 988. D: *τῶν ... φλαύρων* (oppos. *τῶν ἀγαθῶν*). Legg. XII. 955. C: *ἐπὶ ... φλαύροις.* Polit. 273. C: *σμικρὰ μὲν φλαῦρα, μεγάλα δὲ ἐνέκτικεν ἀγαθά.*

φλαύρως, cum v. *ἔχειν*, *male habere* vel *affectum esse.* Soph. 228. B: *τῶν φλαύρως ἐχόντων.*

φλέβιον, *τό*, *vena.* Tim. 65. C: *εἰσιόντα περὶ τὰ φλέβια.* D. 84. E.

φλέγμα, *τό*, *pituita.* Pol. VIII. 564. B: *οἷον περὶ σῶμα φλέγμα τε καὶ χολή.* Tim. 83. C: *καλεῖται δὲ ὀξὺ φλέγμα τὸ τοιοῦτον.* 85. A: *τὸ ... λευκὸν φλέγμα.* B: *φλέγμα ... ὀξὺ καὶ ἁλμυρὸν πηγὴ πάντων νοσημάτων ὅσα γίγνεται καταῤῥοϊκά.* Locr. 102. D. Tim. 83. D: *φλέγματος ... νέου ξυνισταμένου.* 84. D. 83. D: *λευκὸν εἶναι φλέγμα φαμέν.* 86. E: *οἱ τῶν ὀξέων καὶ τῶν ἁλυκῶν φλεγμάτων* (*χυμοί*). 82. E: *χολὰς ... καί φλέγματα ἴσχει παντοῖα.*

φλεγμαίνω, *inflammatus sum*; in univ. in eo dicitur in quo omnia fervent, dissoluta ac perturbata sunt. Tim. 85. B: *ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος, ἀπὸ τοῦ κάεσθαί τε καὶ φλέγεσθαι διὰ χόλην γέγονε πάντα.* Phil. 46. D: *ὁπόταν ἐντὸς τὸ ζέον ᾖ καὶ τὸ φλεγμαῖνον.* Pol. II. 372. E: *καὶ φλεγμαίνουσαν πόλιν* (antec. *ὑγιής τις*) *θεωρήσωμεν.* Legg. III. 691. E: *κατιδοῦσα ὑμῶν τὴν ἀρχὴν φλεγμαίνουσαν ἔτι.* Locr. 103. B: *μορφὰς φλεγμαινόντων σωμάτων μᾶλλον ἢ ὑγιαινόντων.*

φλεγματώδης, *ὁ*, *ἡ*, *inflammans.* Pol. III. 406. A: *ἃ δὴ δοκεῖ φλεγματώδη εἶναι.*

φλεγμονή, *ἡ*, *inflammatio.* Ax. 366. A: *νόσους ... καὶ φλεγμονὰς τῶν αἰσθητηρίων.* **furunculus.* 368. C: *τὴν ... χαρὰν ἔχουσα φλεγμονῆς δίκην παλλομένην καὶ σφυγματώδη.*

φλέγομαι, *exardesco*, *flagro* (ut cupiditate). Legg. IV. 716. A: *φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως.* Tim. 85. B: *ἀπὸ*

τοῦ κάεσθαί τε καὶ φλέγεσθαι. Charm. 155. D: εἶδόν τε τὰ ἐντὸς τοῦ ἱματίου καὶ ἐφλεγόμην.

φλέψ, *vena*. Tim. 66. D: αἱ περὶ ταῦτα φλέβες. 79. A: τὰ τῶν φλεβῶν ... ῥεύματα. 85. E. Locr. 101. C. Tim. 85. D: ἐν ταῖς φλεψί. 66. A: εἰς ... τὰς στενὰς φλέβας ἐνδυομένων. 77. D. 78. B.

φλοιστικός, ή, όν, *ad decorticandum aptus, pertinens* al., fem. *decorticandi ars*. Polit. 288. D: καὶ ἔτι φλοιστικὴ φυτῶν cet.

φλόξ, ἡ, *flamma*. Tim. 58. C: οἷον φλόξ. Ib. φλογὸς ἀποσβεσθείσης. 67. C: φλόγα τῶν σωμάτων ἑκάστων ἀποῤῥέουσαν. 83. B: ὑπὸ τοῦ περὶ τὴν φλόγα πυρός. Locr. 99. B.

φλυαρία, ἡ, *nugae, vanitas*; etiam *res nihili* (germ. *Tand*). Gorg. 492. C: ἀνθρώπων φλυαρία καὶ οὐδενὸς ἄξια. Theaet. 162. A: οὐ μακρὰ ... καὶ δωλιχος φλυαρία —; Pol. I. 336. C: τίς ... ὑμᾶς πάλαι φλυαρία ἔχει; Crit. 46. D: ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. Gorg. 470. C: (ἐάν με) ἀπαλλάξῃς φλυαρίας. Phaed. 66. C: εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς. Conv. 211. E: χρωμάτων καὶ ἄλλης πολλῆς φλυαρίας θνητῆς. Dem. 382. E: ἀπὸ ... τῆς τούτων φλυαρίας ἀπηχία ἐστὶν (τὸ τέλος). Parm. 130. D: εἴς τιν' ἄβυθον φλυαρίαν ἐμπεσών. Pol. IX. 581. D: καπνὸν καὶ φλυαρίαν (ἡγεῖται). Apol. 19. C: καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα. Gorg. 519. A: λιμένων ... καὶ φόρων καὶ τοιούτων φλυαριῶν ἐμπεπλήκασι τὴν πόλιν. 486. C: εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας. 490. C: περὶ σιτία οὐ λέγεις ... καὶ ἰατροὺς καὶ φλυαρίας. Pol. VI. 515. D: ὅτι τότε μὲν ἑώρα φλυαρίας cet. Hipp. mai. 304. B: ἵνα μὴ δοκῇ λίαν ἀνόητος εἶναι λήρους καὶ φλυαρίας ὥσπερ νῦν μεταχειριζόμενος.

φλυαρολογία, ἡ, *garrulitas, argutiae*. Ax. 369. D: ἐκεῖθεν γάρ ἐστιν ἤδε ἡ φλυαρολογία πρὸς τὰ μειράκια διακεκοσμημένη.

φλύαρος, ὁ ἡ, *nugatorius, vanus* vel *stultus*. Ax. 369. B: ἐκ συγκλίδων ὄχλου καὶ βιαίων φλυάρων. Subst. φλύαρος, ὁ, *nugae, vanitas*. Ax. 365. E: πάντα ... τὸν τοιόνδε φλύαρον ἀποσκέδασαι.

φλυαρῶ, *nugor, nugas ago, dico quae vana* et *falsa sunt*. Gorg. 490. E: φλυαρεῖς ἔχων (vid. I. 876.). Euthyd. 295. C: ὅτι ἔχων φλυαρεῖς. Conv. 180. A: Αἰσχύλος ... φλυαρεῖ φάσκων cet. Riv. 132. B: φλυαροῦσι φιλοσοφοῦντες. Pol. I. 337. B: ὡς οὐκ ἀποδέξομαί σου ἐὰν τοιαῦτα φλυαρῇς. Eryx. 397. D: Πρόδικος ... ἐδόκει τοῖς παροῦσι φλυαρεῖν οὕτως ὥστε cet. Gorg. 489. B: οὑτοσὶ ἀνὴρ οὐ παύσεται φλυαρῶν. Apol. 19. C: καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα. Crat. 426. B: ἢ εὖ εἰδέναι ὅτι τά γε ὕστερα ἤδη φλυαρήσει.

φοβερός, ά, όν, *terribilis, horribilis*; *timendus*. Phaed. 67.

E: *τὸ τεθνάναι ἥκιστ᾽ αὐτοῖς ἀνθρώπων φοβερόν.* Pol. V. 450. E: *φοβερόν τε καὶ σφαλερόν.* Legg. VI. 780. C: *ὅτι … τοῦτό ποτε φοβερὸν ἐπιτάξαι τισί.* Ax. 369. C: *τὸ γὰρ φοβερὸν τοῖς οὖσίν ἐστι.* Legg. XI. 922. C: *μεστὸν λόγου τοῖς νομοθέταις εὖ μάλα φοβεροῦ καὶ δυςχεροῦς.* III. 698. D: *καί τινα λόγον εἰς τὴν ἡμετέραν πόλιν ἀφῆκε φοβερόν, ὡς* cet. XII. 959. B: *τῷ … κακῷ μάλα φοβερόν (λόγον,* rationem). III. 677. E: *μυρίαν μέν τινα φοβερὰν ἐρημίαν* cet. Ion. 535. C: *ὅταν δὲ φοβερὸν ἢ δεινόν (τι λέγω).* Legg. VII. 808. C: *φοβεροὶ … κακοῖς πολεμίοις τε ἅμα καὶ πολίταις.* XI. 932. A. Prot. 321. D: *πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν.* Pol. III. 387. B: *πάντα τὰ δεινά τε καὶ φοβερά.* Phil. 49. B: *φοβεροὺς καὶ ἰσχυρούς (προςαγορεύων).* Phaedr. 268. C: *φοβερὰς καὶ ἀπειλητικάς (ῥήσεις).* Conv. 194. B: *ὅτι νοῦν ἔχοντι ὀλίγοι ἔμφρονες πολλῶν ἀφρόνων φοβερώτεροι.* Gorg. 525. C: *φοβερώτατα πάθη πάσχοντας.* **timidus.* Phil. 32. C: *τὸ … πρὸ τῶν λυπηρῶν (προςδόκημα) φοβερὸν καὶ ἀλγεινόν.* Legg. I. 647. B: *ἄφοβον ἡμῶν ἄρα δεῖ γίγνεσθαι καὶ φοβερὸν ἕκαστον.* C: *ὅταν ἐπιχειρῶμέν τινα φοβερὸν ποιεῖν μετὰ δίκης.* VII. 791. A: *τὴν ἐντὸς φοβερὰν οὖσαν καὶ μανικὴν κίνησιν.* Pol. III. 413. D: *σκοποῦσιν εἰ φοβεροί (οἱ πῶλοι).* Legg. I. 649. D: *φοβεροὺς … εἰς τό τι τολμᾶν ἑκάστοτε λέγειν ἢ πάσχειν ἢ καὶ δρᾶν αἰσχρὸν ὁτιοῦν.* **sollicitus.* Theag. 127. B: *καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξετε φροντίδων.*

φόβητρον, τό, formido. Ax. 367. A: *τοῖς ὕστερον χαλεποῖς ἐφάνη τὰ πρῶτα παιδικὰ καὶ νηπίων ὡς ἀληθῶς φόβητρα.*

φόβος, ὁ, timor, metus; etiam *terror.* Conv. 193. A: *φόβος οὖν ἔστιν … ὅπως μὴ καὶ αὖθις διασχισθησόμεθα.* Pol. IV. 430. B: *λύπη τε καὶ φόβος* cet. Legg. I. 644. C: *φόβος … ἡ πρὸ λύπης ἐλπίς.* 647. B: *θάῤῥος μὲν πολεμίων, φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς.* II. 678. C: *πᾶσι φόβος ἔναυλος ἐγεγόνει.* Phil. 12. C: *πέρα τοῦ μεγίστου φόβου.* Pol. IX. 578. A: *φόβου γέμειν.* Ion. 535. C: *ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ φόβου.* Phaedr. 254. E: *φόβῳ διόλλυται.* Conv. 197. D: *ἐν φόβῳ, ἐν πόθῳ … κυβερνήτης.* 221. A: *αὐτὸς … ἧττον ἐν φόβῳ ᾖ.* Pol. VI. 497. D: *φόβῳ ὧν ὑμεῖς ἀντιλαμβανόμενοι δεδηλώκατε μακρὰν … τὴν ἀπόδειξιν.* VIII. 554. D: *ἀνάγκῃ καὶ φόβῳ.* IX. 578. E: *ἐν ποίῳ ἄν τινι καὶ ὁπόσῳ φόβῳ οἴει γενέσθαι αὐτὸν περί τε αὑτοῦ καὶ παίδων* cet. Legg. VI. 783. A. Prot. 358. D: *προςδοκίαν τινὰ λέγω κακοῦ τοῦτο, εἴτε φόβον εἴτε δέος καλεῖτε.* Phil. 20. B: *λύει πάντα φόβον ἑκάστων πέρι.* 50. B: *καὶ φόβον καὶ ἔρωτα* cet. Pol. II. 360. D: *διὰ τὸν τοῦ ἀδικεῖσθαι φόβον.* Tim. 69. D: *θάῤῥος καὶ φόβον, ἄφρονε ξυμβούλω.* Legg. I. 647. A: *ὃν … καλοῦμεν τὸν φόβον ἡμεῖς γε … αἰσχύνην.* (Cf. II. 671. D.). Menex. 241. B:

ὅτι τὸν ἐχόμενον φόβον διέλυσαν τῶν Ἑλλήνων. Phil. 36. C: φόβοι ... ἀληθεῖς ἢ ψευδεῖς. Conv. 207. E: οἱ τρόποι ... λῦπαι, φόβοι cet. Legg. IX. 870. C: οἱ δειλοὶ καὶ ἄδικοι φόβοι. Polit. 305. D: μήθ' ὑπὸ φόβων. Pol. IX. 579. B: πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μέστος. X. 616. A. Legg. I. 635. B: τὸ ... τῶν λυπῶν καὶ φόβων. C: ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων. 646. D: δύο φόβων εἴδη. VII. 791. B: ὡς ἅπασα ψυχὴ ... ἐκ νέων μᾶλλον ἂν διὰ φόβων ἐθίζοιτο γίγνεσθαι. X. 906. A: γεωργοῖς περὶ φυτῶν γένεσιν εἰωθυίας ὥρας χαλεπὰς διὰ φόβων προσδεχομένοις. Alc. II. 142. A: διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων. Phil. 50. C: τήν γε ἐν τοῖς φόβοις καὶ ἔρωσι ... κρᾶσιν. Pol. IV. 429. D. Legg. I. 632. A. Prot. 360. B: οὐκοῦν ὅλως οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους φοβοῦνται —; Theaet. 173. E: μεγάλους κινδύνους καὶ φόβους ἔτι ἁπαλαῖς ψυχαῖς ἐπιβάλλουσα. Pol. VI. 504. D: ἐν τῷ πολέμῳ πρὸς τοὺς φόβους δυσκίνητα ὄντα (ἤθη). Legg. I. 635. C: ὁπόταν εἰς ἀναγκαίους ἔλθῃ πόνους καὶ φόβους καὶ λύπας. V. 727. D. Charm. 168. A: ὃς (φόβος) ἑαυτὸν μὲν καὶ τοὺς ἄλλους φόβους φοβεῖται cet. Lach. 191. D: μὴ μόνον ὅσοι πρὸς λύπας ἀνδρεῖοί εἰσιν ἢ φόβους, ἀλλὰ καὶ cet. Lenius est *dubitatio*. Phaed. 101. B: ὁ αὐτὸς γάρ που φόβος (nos: *eben so bedenklich*). Soph. 268. A: τὸ ... θατέρου σχῆμα ... ἔχει πολλὴν ὑποψίαν καὶ φόβον, ὡς ἀγνοεῖ ταῦτα ἃ cet.

φοβῶ, *terreo, territo*. Theag. 121. C: ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ. Tim. 71. B: ἵν' ... ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις ... φοβοῖ ... αὐτό. Legg. XI. 933. C: μηδέ, καθάπερ παῖδας, τοὺς πολλοὺς τῶν ἀνθρώπων δειμαίνοντας φοβεῖν (δεῖν). Pol. VIII. 551. B: ἢ καὶ πρὸ τούτου φοβήσαντες (*territando*) κατεστήσαντο τὴν τοιαύτην πολιτείαν. Med. *in timore sum, timeo, reformido*; etiam *vereor, dubito*. Gorg. 457. E: φοβοῦμαι οὖν διελέγχειν σε, μή με ὑπολάβῃς ... λέγειν. Soph. 230. E: ἐγὼ ... φοβοῦμαι σοφιστὰς φάναι. 242. A: φοβοῦμαι ... τὰ εἰρημένα μή ποτε cet. Tim. 19. E. Legg. X. 886. A: φοβοῦμαί γε ... τοὺς μοχθηροὺς ... μή πως cet. Theag. 127. C: ὡς νῦν πάνυ φοβοῦμαι ὑπὲρ τούτου μὴ cet. Phil. 16. A: οὐ φοβεῖ μή σοι ... ξυνεπιθώμεθα —; Legg. VII. 818. E. Euth. 4. E. Gorg. 522. E: αὐτὸ ... τὸ ἀποθνήσκειν οὐδεὶς φοβεῖται. Pol. II. 382. A: πάντων μάλιστα φοβεῖται ἐκεῖ αὐτὸ κεκτῆσθαι. Legg. VII. 798. B: σέβεται καὶ φοβεῖται πᾶσα ἡ ψυχὴ τό τι κινεῖν τῶν τότε καθεστώτων. Pol. III. 387. C: ἡμεῖς δὲ ὑπὲρ τῶν φυλάκων φοβούμεθα μὴ cet. Legg. III. 685. C: καθάπερ νῦν τὸν μέγαν βασιλέα φοβούμεθα ἡμεῖς. Euthyd. 275. B: φοβούμεθα ... περὶ αὐτῷ (sic Cl. c. al. Vulgo αὐτοῦ). Prot. 349. E: ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. 360. B: οὐκ αἰσχροὺς φόβους φοβοῦνται. Phaedr. 239. D: τὸ ... τοιοῦτον σῶμα οἱ φίλοι ... φοβοῦνται (*de*

eo solliciti sunt). Crat. 404. C: *πολλοὶ μὲν καὶ τοῦτο φοβοῦνται τὸ ὄνομα* cet. Pol. III. 414. C: *μὴ φοβοῦ.* Legg. XI. 927. A: *τοὺς ἄνω θεοὺς φοβείσθων.* Charm. 172. E: *ὅτι φοβοίμην μὴ* cet. Phaedr. 232. C: *εἰκότως ἂν τοὺς ἐρῶντας μᾶλλον ἂν φοβοῖο.* Conv. 194. A. Gorg. 510. B: *φοβοῖτο ... ἂν αὐτὸν ὁ τύραννος.* Ion. 535. D: *ὃς ἂν ... φοβῆται* cet. Phaedr. 245. B: *ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα.* Prot. 360. B: *ὅταν φοβῶνται.* Parm. 137. A: *κἀγώ μοι δοκῶ ... μάλα φοβεῖσθαι.* Pol. VIII. 562. E: *φοβεῖσθαι τοὺς υἱεῖς.* Crit. 47. B. Gorg. 479. A: *φοβούμενος ... τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι ἀλγεινόν.* Pol. X. 606. C: *φοβούμενος δόξαν βωμολοχίας.* Phaedr. 232. C: *φοβούμενοι τοὺς ... οὐσίαν κεκτημένους μὴ* cet. 257. D: *δόξαν φοβούμενοι τοῦ ἔπειτα χρόνου, μὴ σοφισταὶ καλῶνται.* Pol. I. 344. C: *τὸ πάσχειν φοβούμενοι.* Prot. 316. D: *φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς (τ. σοφιστικῆς τέχνης).* Theaet. 143. E: *ἐφοβούμην ἂν σφόδρα λέγειν, μὴ* cet. Conv. 198. C: *ἐφοβούμην μὴ* cet. Alc. I. 132. B: *ἐφοβούμεθα δὲ μὴ* cet. Euth. 12. B: *ἐπεὶ ἔστιν ὅστις ... οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας.* Crat. 403. E: *καὶ τοῦτο πεφόβηνται.* 404. E: *πολλοὶ πεφόβηνται περὶ τὸ ὄνομα τοῦ θεοῦ.* Ep. VII. 349. A. Pol. VI. 503. B: *πεφοβημένου (τοῦ λόγου) κινεῖν τὸ νῦν παρόν.* III. 387. B: *δουλείαν θανάτου μᾶλλον πεφοβημένους.* Polit. 268. C: *οὐκοῦν ὀρθῶς ... ἐφοβήθημεν ὑποπτεύσαντες μὴ* cet. Soph. 264. B. Epin. 988. A: *τόδε δὲ μηδείς ποτε φοβηθῇ τῶν Ἑλλήνων ὡς οὐ χρὴ* cet. Legg. VIII. 835. D: *εἰςῆλθε δή με ... φοβηθῆναι* cet. Phil. 14. A: *φοβηθεὶς τοῦτ' αὐτό.* Conv. 174. A: *φοβηθεὶς τὸν ὄχλον.* Legg. VII. 804. E: *καὶ οὐδὲν φοβηθεὶς εἴποιμ' ἂν τοῦτον τὸν λόγον οὔτε ἱππικῆς οὔτε γυμναστικῆς.* Apol. 32. C: *φοβηθέντα δεσμὸν ἢ θάνατον.* Prot. 316. E: *φοβηθέντες τὸν φθόνον.* Apol. 29. B: *πρὸ τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα, εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι* (libri aliquot *φοβηθήσομαι*) *οὐδὲ φεύξομαι.* Pol. V. 470. A: *μᾶλλον δὲ καὶ φοβησόμεθα* (sic Par. A. c. al. Vulg. *φοβηθησόμεθα*) *μή τι μίασμα ᾖ* cet. Legg. I. 649. C: *τὸ δὲ τοὐναντίον ὅτι μάλιστα φοβησόμεθα.* Pol. V. 452. B: *οὐκοῦν ... οὐ φοβητέον τὰ τῶν χαριέντων σκώμματα.* Legg. X. 891. A. V. 746. E: *οὐδ' ἐκεῖνα φοβητέα δείσαντα τὴν δόξασαν ἂν γίγνεσθαι σμικρολογίαν.*

φοινήεις, *cruentatus.* Ion. 539. C. (Hom.).

φοινικοῦς, ῆ, οῦν, *puniceus.* Locr. 101. C: *φοινικοῦν (χρῶμα).*

φοίτησις, ἡ, *itio, accessus frequens.* Legg. VI. 764. D: *τῶν φοιτήσεών τε πέρι καὶ οἰκήσεων ἀῤῥένων καὶ θηλειῶν κορῶν.* 784. D: *τῶν εἰς τοὺς γάμους ... φοιτήσεων μὴ μετεχέτω.* XII. 949. C: *περὶ ... χορείας τινῶν φοιτήσεων ἢ*

πομπεύσεων cet. 952. D: *ὁ ... διὰ τέλους ἀεὶ θερινὸς ὡς τὰ πολλὰ διατελῶν ταῖς φοιτήσεσι* (ξένος).

φοιτητής, ὁ, *discipulus*. Alc. I. 109. D: *ἵν' αὐτῷ φοιτητὴν προξενήσῃς καὶ ἐμέ*. Euthyd. 295. D: *μή με σκαιὸν ἡγησάμενος φοιτητὴν μὴ προσδέχοιτο*. Pol. VIII. 563. A: *φοιτηταί τε διδασκάλων ὀλιγωροῦσιν*. Ib. *διδάσκαλός τε τῷ τοιούτῳ φοιτητὰς φοβεῖται καὶ θωπεύει*. Legg. VI. 779. D.

φοιτῶ, *ito*, *ventito* (praec. de discipulis); etiam simpl. *eo* et *venio*. Alc. I. 121. E: *ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσι*. Pol. I. 328. D: *δεῦρο παρ' ἡμᾶς φοίτα*. Gorg. 523. B: *ὅτι φοιτῷέν σφιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι*. De lucri cup. 228. E. Legg. VII. 817. A: *πότερον φοιτῶμεν ὑμῖν εἰς τὴν πόλιν ... ἢ μή;* Prot. 326. C: *εἰς διδασκάλων ... φοιτᾶν*. Phaed. 59. D: *εἰώθειμεν φοιτᾶν ... παρὰ τὸν Σωκράτη*. Legg. XI. 915. A. Crit. 43. A: *διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν*. Lach. 181. C. Euthyd. 295. D. Alc. I. 109. D: *φοιτῶν εἰς διδασκάλου*. Eryx. 398. E: *πρὸς τὰς τοῦ γραμματιστοῦ φοιτῶν θύρας*. Legg. VII. 794. B: *φοιτῶσα εἰς τὸ ἱερὸν ἑκάστης ἡμέρας*. Phaed. 60. E: *πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον* cet. Legg. I. 624. A: *ὡς τοῦ Μίνω φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ... συνουσίαν δι' ἐνάτου ἔτους*. Prot. 314. D: *ἄχθεσθαι τοῖς φοιτῶσιν εἰς τὴν οἰκίαν*. Pol. III. 416. E: *φοιτῶντας ... εἰς ξυσσίτια*. Legg. VII. 804. D. Conv. 206. B: *οὐ μέντ' ἂν ... ἐφοίτων παρὰ σὲ αὐτὰ ταῦτα μαθησόμενος*. De lege 319. E: *ἐφοίτα ... εἰς τὸ τοῦ Διὸς ἄντρον ὁ Μίνως*. Pol. III. 390. C: *ὅτε τὸ πρῶτον ἐφοίτων πρὸς ἀλλήλους* (ex Hom.). Legg. III. 698. A: *ἀπειλαὶ ἐφοίτων παρὰ βασιλέως μυρίαι*. Ep. VII. 339. D: *ἐπιστολαὶ ... ἐφοίτων παρά τε Ἀρχύτου* cet. Alc. I. 106. E: *ἀλλ' οὐ πεφοίτηκα εἰς ἄλλων ἢ τούτων*. Gorg. 456. D: *εἰς παλαίστραν φοιτήσας*. Theaet. 161. E: *φοιτητέον ἡμῖν ἦν παρ' ἐκεῖνον*.

φονεύς, ὁ, *interfector*. Legg. IX. 872. C: *ἐάνπερ βιῷ παιόμενος ὁ φονεύς*. Pol. V. 451. A: *ἀκουσίως τινὸς φονέα γενέσθαι*. Legg. IX. 865. E. Ep. VII. 334. A: *τοῖς φονεῦσι παρεστῶτες ἐπίκουροι*.

φονεύω, *interficio*. Legg. IX. 873. E: *ἐὰν ... ὑποζύγιον ἢ ζῷον ἄλλο τι φονεύσῃ τινά*. 871. D: *τοῦ φονευθέντος*.

φονικός, ή, όν, *truculentus*. Phaedr. 252. C: *φονικοὶ καὶ ἕτοιμοι καθιερεύειν αὐτούς τε καὶ τὰ παιδικά*.

φόνος, ὁ, *caedes*. Crat. 395. B: *ὁ ... τοῦ Χρυσίππου αὐτῷ φόνος*. Pol. V. 450. B: *ὥσπερ φόνου καθαρόν*. VIII. 565. E: *γενόμενος φόνου ξυγγενοῦς*. IX. 574. E. Legg. VI. 759. C: *φόνου ... ἁγνόν*. VIII. 831. A: *ὡς ἀκουσίου τοῦ φόνου γενομένου*. IX. 877. E. 873. A: *φόνῳ ὁμοίῳ*. 867. B: *τὰ περὶ τὸν φόνον ἀγριωτέρως ἂν πράξειεν*. 869. A: *οἱ τὸν ἀκούσιον ἐξεργασάμενοι φόνον*. 867. B: *οἱ τῷ θυμῷ*

πραχθέντες φόνοι. 870. C. VI. 778. C: *αἱ ... τῶν φόνων πρέπουσαι δίκαι.* IX. 870. C: *φόνοις δεόμενοι καθαίρεσθαι.* Phaed. 113. E: *φόνους ἀδίκους ... ἐξειργασμένοι.* Legg. IX. 866. E: *διττοὺς ... τοὺς φόνους ... θετέον.* 871. C. 872. C: *ξυγγενῶν αὐτόχειρας φόνους.* Euth. 5. D.

φορά, ἡ, dicitur in rebus quae feruntur, ut leges (Legg. V. 739. A: *ἡ ... μετὰ τοῦτο φορά, καθάπερ πεττῶν ἀφ' ἱεροῦ*) et suffragia (Legg. XII. 948. E: *διὰ φορᾶς ψήφων*), vel penduntur ut tributum (Legg. IV. 706. B: *παρεστήσατο εἰς χαλεπήν τινα φορὰν δασμοῦ*). Dein in univ. est *agitatio* (etiam *incitatio*), *motus* vel *cursus* (etiam *circuitus*). Crat. 421. B: *ἡ ... θεία τοῦ ὄντος φορά.* Pol. VII. 530. C: *πλείω ... εἴδη παρέχεται ἡ φορά.* Tim. 81. A: *καθάπερ ἐν τῷ παντὶ παντὸς ἡ φορὰ γέγονεν.* Legg. X. 897. C: *ἡ ξύμπασα οὐρανοῦ ὁδὸς ἅμα καὶ φορά.* Def. 411. B: *τύχη φορὰ ἐξ ἀδήλου εἰς ἄδηλον.* 414. C: *λογιστικὴ φορά (δόξα).* Theaet. 152. D: *ἐκ ... φορᾶς τε καὶ κινήσεως* cet. 153. A: *ἐκ φορᾶς καὶ τρίψεως.* Crat. 411. C: *μεστὰ εἶναι πάσης φορᾶς καὶ γενέσεως ἀεί.* Tim. 39. A: *διὰ τῆς ταὐτοῦ φορᾶς.* Legg. V. 747. A: *κατὰ τὴν εὐθυπορίαν τῆς ἄνω καὶ κάτω φορᾶς.* Epin. 988. D: *τῆς ... φορᾶς πάσης καὶ κινήσεως ψυχὴν αἰτίαν εἶναι θαῦμα οὐδέν.* Crat. 426. D: *πρὸς τὸ ἀφομοιοῦν τῇ φορᾷ.* 434. C: *τῇ φορᾷ καὶ κινήσει* cet. 440. B. Pol. X. 617. B: *φορᾷ ἰέναι.* Tim. 39. A: *τῇ ... ταὐτοῦ φορᾷ.* 87. A: *τῇ τῆς ψυχῆς φορᾷ.* Legg. X. 893. C: *ὅσα φορᾷ κινεῖται.* Gorg. 451. C: *περὶ τὴν τῶν ἄστρων φορὰν καὶ ἡλίου* cet. Theaet. 153. C: *πρὸς τὴν προσήκουσαν φοράν.* Polit. 269. E: *μίαν φορὰν κινεῖται.* 270. B: *τὴν τοῦ παντὸς φορὰν ... φέρεσθαι.* 306. D: *κατὰ φωνῆς φοράν.* Crat. 417. A: *τὴν ἅμα φορὰν τῆς ψυχῆς μετὰ τῶν πραγμάτων.* Pol. X. 617. A: *κυκλεῖσθαι ... τὴν αὐτὴν φοράν.* Tim. 36. C: *τὴν ... ἔξω φοράν.* 84. B: *πάλιν εἰς τὴν αἵματος φορὰν ἐμπεσοῦσαι.* Legg. X. 898. B: *σφαίρας ἐντόρνου ἀπεικασμένα φοραῖς.* Epin. 982. D: *ὡς μένον ἐν ταῖς αὐταῖς φοραῖς.* Conv. 188. B: *περὶ ἄστρων ... φοράς.* Pol. VII. 529. D: *ἃς τὸ ὂν τάχος καὶ ἡ οὖσα βραδύτης ... φοράς τε πρὸς ἄλληλα φέρεται καὶ τὰ ἐνόντα φέρει.* 530. A: *εἰς τὰς τῶν ἄστρων φορὰς ἀποβλέποντα.* Tim. 39. B: *(ἵνα) περὶ τὰς ὀκτὼ φορὰς πορεύοιτο.* 47. D: *ξυγγενεῖς ἔχουσα (ἡ ἁρμονία) φορὰς ταῖς ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις.* **fertilitas.* Pol. VIII. 546. B: *φορὰ καὶ ἀφορία ψυχῆς τε καὶ σωμάτων.*

φορβάς, ὁ ἡ, gregalis. Legg. II. 666. E: *οἷον ἀθρόους πώλους ἐν ἀγέλῃ νεμομένους φορβάδας τοὺς νέους κέκτησθε.*

φορμίσκος, ὁ, corbula. Lys. 206. E: *ἐκ φορμίσκων τινῶν προαιρούμενοι (ἀστραγάλους).*

φόρος, ὁ, tributum, vectigal. Alc. I. 123. A: *ὁ βασιλικὸς φόρος οὐκ ὀλίγος γίγνεται.* Ep. VII. 333. A: *οὐχ ὥσπερ νῦν ... ὁ πατὴρ αὐτοῦ φόρον ἐτάξατο φέρειν τοῖς βαρβά-*

ροις. Gorg. 519. A: τειχῶν καὶ φόρων cet. Polit. 298. A: προστάττοντες ἀναλώματα φέρειν παρ' ἑαυτοὺς οἷον φόρους.

φορτικός, ή, όν, *molestus; odiosus.* Gorg. 482. E: σὺ ... εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά. Apol. 32. A: ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. **putidus, pinguis; insulsus;* etiam *vulgaris* et *vilis* (vern. *gemein* et *unedel*). Euthyd. 287. A: τοῦτό ἐστιν ἤδη ... τὸ φορτικὸν ἐρώτημα. Crat. 435. C: (μὴ) ἀναγκαῖον ... ᾖ καὶ τῷ φορτικῷ τούτῳ προσχρῆσθαι, τῇ ξυνθήκῃ, εἰς ὀνομάτων ὀρθότητα. Pol. IX. 581. D: οὐ τὴν ... ἀπὸ τῶν χρημάτων ἡδονὴν φορτικήν τινα ἡγεῖται —; Phaedr. 236. C: ἵνα ... μὴ τὸ τῶν κωμῳδῶν φορτικὸν πρᾶγμα ἀναγκαζώμεθα ποιεῖν. Crat. 400. A: τούτου ... καταφρονήσαιεν ἂν καὶ ἡγήσαιντο φορτικὸν εἶναι. Theaet. 176. C: αἱ δ' ἄλλαι ... σοφίαι ἐν μὲν πολιτικαῖς δυναστείαις γιγνόμεναι φορτικαί, ἐν δὲ τέχναις βάναυσοι. Pol. IV. 442. E: τὰ φορτικὰ αὐτῷ προσφέροντες. Phaedr. 256. B: ἐὰν ... διαίτῃ φορτικωτέρᾳ τε καὶ ἀφιλοσόφῳ ... χρήσωνται. Euthyd. 286. E: ἴσως ... φορτικώτερόν τι ἐρήσομαι.

φορτικῶς, *importune, inficete* (vern. *ungebührlich*). Theaet. 183. E: αἰσχυνόμενος μὴ φορτικῶς σκοπῶμεν. Pol. II. 367. A: μεταστρέφοντες αὐτοῖν τὴν δύναμιν φορτικῶς. VII. 528. E: ὡς φορτικῶς ἐπαινοῦντι.

φορῶ, *gesto, gero.* Prot. 342. C: βραχείας ἀναβολὰς φοροῦσιν. Theaet. 197. B: οἷον εἰ ἱμάτιον πριάμενός τις ... μὴ φοροῖ. Gorg. 493. B: (ὡς) φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ... κοσκίνῳ. Pol. III. 390. B: φορέησι (Hom.). Phaed. 87. C: ἱματίου ἐν χρείᾳ τε ὄντος καὶ φορουμένου. Pass. etiam est *ferri* vel *agitari.* Epin. 976. A: ἄμετρα γὰρ δόξαις φορεῖται τοπαζόμενα. Tim. 52. A: γεννητόν, πεφορημένον ἀεί.

φράγμα, τό, *sepimentum.* Polit. 279. B: τὰ μὲν ... ὁπλίσματα, τὰ δὲ φράγματα. Ib. τῶν φραγμάτων. 280. D: τέχναι φραγμάτων.

φράζω, *dico, memoro; declaro; doceo;* etiam *significo* et *intelligo.* Legg. X. 895. E: τὸ τοιοῦτον φράζω μῶν οὖν οὐ cet. Polit. 262. C: ποῖον ... φράζεις διαιρουμένους ἡμᾶς οὐκ ὀρθῶς ἄρτι δρᾶν; 268. E. Legg. III. 677. D: μῶν φράζεις Ἐπιμενίδην; I. 630. B: φράζει Τύρταιος. XI. 923. A: ὥσπερ καὶ τὸ τῆς Πυθίας γράμμα φράζει τὰ νῦν. Theaet. 180. B: τὰ τοιαῦτα τοῖς μαθηταῖς ἐπὶ σχολῆς φράζουσιν. Phaedr. 278. B: φράζε Λυσίᾳ ὅτι cet. Phaed. 61. B: ταῦτα ... Εὐήνῳ φράζε. Polit. 259. D: φράζε ποίαν. Legg. I. 626. B: τόδε δέ μοι φράζε ἔτι σαφέστερον. Apol. 19. D: φράζετε ... ἀλλήλοις. Legg. VIII. 842. A: αὐτὸς φραζέτω τί ποτε περὶ αὐτῶν διανοεῖται. VI. 784. C: φραζόντων. 776. D: οὐ με εἰκότως τί ποτε φράζοιμι ἠρώτησας. X. 888. B. Phil. 23. C: καθ' ὅ τι, φράζοις ἄν. Legg. I. 631. B: βούλει

σοι φράζω; Prot. 310. D: *μέλλων σοι φράζειν ὅτι διωξοίμην αὐτόν.* Phaed. 57. B: *τῶν δὲ ἄλλων οὐδὲν εἶχε φράζειν.* Polit. 282. B: *ὡς ἓν φράζειν.* Legg. V. 735. C: *φράζειν τὸ προσῆκον ἑκάστοις καθαρμοῦ τε πέρι* cet. VII. 814. C: *τῷ λόγῳ φράζειν.* Epin. 986. E: *ὡς μὲν ὀνόματι φράζειν οὐκ ἔστι.* Phil. 66. A: *παροῦσι φράζων.* Legg. I. 649. A: *τὸν οἶνον φράζων.* 640. A: *ἐμοῦ φράζοντος πειρῶ μανθάνειν;* XII. 961. C: *ὀρθῶς φράζοντας μηδὲν ἀπολείπειν προθυμίας.* X. 887. A: *ὧν ἔφραζον δεῖν πέρι λέγειν.* Epin. 985. E: (*εἰ*) *μὴ ἔφραζεν.* Men. 92. D: *τί δὲ αὐτῷ οὐ σὺ ἔφρασας;* Polit. 263. C: *φράσον δή μοι τὸ μετὰ τοῦτο.* Euth. 14. E. Eryx. 399. E: *φρασάτω οὖν ἡμῖν ὁ φάσκων τὸ πλουτεῖν ἀγαθὸν εἶναι* cet. Phaed. 97. D: *ἐπειδὴ ... φράσειεν.* Alc. I. 117. B: *ἢ ἐγὼ φράσω;* Charm. 167. B. Pol. IV. 432. C: (*ἐάν πως*) *μοι φράσῃς.* Phaedr. 255. D: *οὐδ' ἔχει φράσαι.* Gorg. 463. E: *ἀλλ' ἐγὼ πειράσομαι φράσαι ὅ γέ μοι φαίνεται εἶναι ἡ ῥητορική.* Id. Crat. 404. E. Euth. 10. A: *σαφέστερον φράσαι.* Men. 92. D: *φράσας αὐτῷ* cet. Charm. 155. C: *φράσαντος τοῦ Κριτίου ὅτι* cet. Theaet. 146. D: *ὃ μέντοι οἶμαι φράσω.* Phil. 19. C. Pol. III. 393. D: *φράσω ... ἄνευ μέτρου.* Menex. 246. C. Phil. 25. B: *σὺ καὶ ἐμοὶ φράσεις.* Phaedr. 267. C: *τὰ ... Πώλου πῶς φράσομεν αὖ μουσεῖα λόγων —;* Legg. VII. 818. C. Phaed. 97. D: *φράσειν.* Ep. II. 312. D: *φραστέον δή σοι δι' αἰνιγμῶν.*

φραστικός, ή, όν, *dicens, indicans.* Def. 414. D: *φραστικὴ* (*φωνὴ*) *ἑκάστου τῶν ὄντων.*

φρατρία, ἡ, idem fere quod Lat. *curia.* Legg. VI. 785. A: *τῆς ... φρατρίας ἀεὶ τοὺς ζῶντας ... γεγράφθαι πλησίον.* Ib. *ἐν πάσῃ φρατρίᾳ.* V. 746. D: *φρατρίας καὶ δήμους καὶ κώμας.*

φράτριος, α, ον, *curialis*, de Iove est *curialium praeses.* Euthyd. 302. D: *Ζεὺς ... ἕρκειος ... καὶ φράτριος* (*καλεῖται*).

φράττω, *sepio.* Legg. VI. 779. A: *τείχεσι ... καὶ πύλαις ... φραχθέντας.* **obstruo.* Tim. 84. D: *ὑπὸ ῥευμάτων φραχθεὶς* (*πλεύμων*).

φράτωρ, ὁ, *curialis.* Tim. 21. B: *εἶπεν οὖν δή τις τῶν φρατόρων.*

φρέαρ, τό, *puteus.* Theaet. 165. B: *ἐν φρέατι συσχόμενος.* Gorg. 471. C: *εἰς φρέαρ ἐμβαλών.* Theaet. 174. A: *πεσόντα εἰς φρέαρ.* Lach. 193. C: *εἰς φρέαρ καταβαίνοντες καὶ κολυμβῶντες.* Prot. 349. E: *οἶσθα ... τίνες εἰς τὰ φρέατα κολυμβῶσι θαῤῥαλέως;* Theaet. 174. C: *εἰς φρέατά τε καὶ πᾶσαν ἀπορίαν ἐμπίπτων ὑπὸ ἀπειρίας.*

φρήν, ἡ, pl. *praecordia.* Tim. 87. A: *μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος.* D. 77. B. 70. A: *τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες.* **mens.* Theaet. 154. D: *ἡ δὲ φρὴν οὐκ ἀνέλεγκτος.* Conv. 199. A: *ἡ δὲ φρὴν*

οὐ (ὑπέσχετο). Pol. III. 362. A: διὰ φρενός (Aeschyl.). 386. D: φρένες οὐκ ἔνι πάμπαν (Hom.). Theaet. 154. D: πάντα τὰ τῶν φρενῶν ἐξητακότες. Ep. VII. 344. D: βροτοὶ ... φρένας ὤλεσαν αὐτοί (Hom.).

φρίκη, ἡ, *horror*. Phaedr. 251. A: οἷον ἐκ τῆς φρίκης. Pol. III. 387. D.

φρίττω, *horrore perfundor*. Pol. III. 387. C: ὅσα ... φρίττειν δὴ ποιεῖ ὡς οἷόν τε πάντας τοὺς ἀκούοντας. Phaedr. 251. A: πρῶτον μὲν ἔφριξε cet.

φρόνημα, τό, *animus*. Legg. IX. 865. D: ἐν ἐλευθέρῳ φρονήματι βεβιωκώς. Pol. IX. 573. B: οὐκοῦν ... καὶ μεθυσθεὶς ἀνὴρ τυραννικόν τι φρόνημα ἴσχει; Conv. 182. C: οὐ γάρ ... συμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεσθαι τῶν ἀρχομένων. 190. B: καὶ τὰ φρονήματα μεγάλα εἶχον. Critia 120. E: τὰ ... φρονήματα ἀληθινὰ καὶ πάντῃ μεγάλα ἐκέκτηντο. Praec. *animus magnus* vel *fortis*. Menex. 239. E: ἐλευθερώσας Πέρσας τοὺς αὐτοῦ πολίτας τῷ αὐτοῦ φρονήματι. Etiam *animi elatio, superbia*. Polit. 290. D: τὸ τῶν μάντεων (σχῆμα) εὖ μάλα φρονήματος πληροῦται. Pol. III. 411. C: οὐ ... φρονήματός τε καὶ θυμοῦ ἐμπίπλαται —; VI. 494. D: σχηματισμοῦ καὶ φρονήματος κενοῦ ἄνευ νοῦ ἐμπιπλάμενον. Lys. 206. A: φρονήματος ἐμπίπλανται καὶ μεγαλαυχίας. Alc. I. 103. B: ὑπερβληθεὶς τῷ φρονήματι.

φρόνησις, *mens, intelligentia; prudentia* et *sapientia*. Phaedr. 250. D: ἡ (ὄψει) φρόνησις οὐχ ὁρᾶται. Phaed. 79. D: καὶ τοῦτο αὐτῆς (τ. ψυχῆς) τὸ πάθημα φρόνησις κέκληται. Crat. 411. D: φορᾶς γάρ ἐστι καὶ ῥοῦ νόησις (ἡ φρόνησις). Phil. 13. E: φρόνησις ... καὶ ἐπιστήμη καὶ νοῦς cet. Pol. IV. 433. C: ἡ ἐν τοῖς ἄρχουσι φρόνησίς τε καὶ φυλακὴ ἐνοῦσα. Legg. I. 631. C: ὃ δὴ πρῶτον ... τῶν θείων ἡγεμονοῦν ἐστὶν ἀγαθῶν, ἡ φρόνησις. Men. 98. C: εἰ φρόνησις ἡ ἀρετή. Def. 411. D. Prot. 337. C: φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ. Phaed. 65. A: τί δὲ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν —; Theaet. 176. B: ὅσιον μετὰ φρονήσεως γενέσθαι. Phil. 21. B: κενόν γε ὄντα πάσης φρονήσεως. Conv. 202. A: μεταξὺ ἀμαθίας καὶ φρονήσεως. 203. D: φρονήσεως ἐπιθυμητής. 209. A: πολὺ ... μεγίστη ... καὶ καλλίστη τῆς φρονήσεως ἡ περὶ τὰς τῶν πόλεών τε καὶ οἰκήσεων διακοσμήσεις. Pol. V. 461. A: ἀμφοτέρων ... αὕτη ἀκμὴ σώματός τε καὶ φρονήσεως. VI. 496. A: οὐδὲν γνήσιον οὐδὲ φρονήσεως ἄξιον ἀληθινῆς ἐχόμενον. Legg. V. 732. B: ἀνάμνησις δ' ἐστὶν ἐπιῤῥοὴ φρονήσεως ἀπολειπούσης. X. 906. B: σωφροσύνη μετὰ φρονήσεως. Hipp. min. 365. E: ὑπὸ πανουργίας καὶ φρονήσεώς τινος. Phil. 12. A: φρονήσει. Pol. IV. 432. A. X. 621. B: τοὺς ... φρονήσει μὴ σωζομένους. Prot. 352. C: ἱκανὴν εἶναι τὴν φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ. Phaed. 76. C: ἦσαν ἄρα ... αἱ ψυχαὶ

καὶ πρότερον ... καὶ φρόνησιν εἶχον. Polit. 269. C: *φρόνησιν εἰληχὸς ἐκ τοῦ συναρμόσαντος αὐτὸ κατ' ἀρχάς.* Conv. 184. D: *εἰς φρόνησιν καὶ τὴν ἄλλην ἀρετὴν ξυμβάλλεσθαι.* 209. A: *φρόνησίν τε καὶ τὴν ἄλλην ἀρετήν (κυεῖν).* Tim. 34. A: *τὴν περὶ νοῦν καὶ φρόνησιν μάλιστα οὖσαν (κίνησιν).* Epin. 974. B: *φρονήσεων ἤ τινων ἄλλων τοιούτων ... ἐπιστημῶν.* Legg. II. 665. D: *ἡλικίαις τε καὶ ἅμα φρονήσεσι πιθανώτατον ὂν τῶν ἐν τῇ πόλει.* Phil. 63. A: *τὰς ἡδονὰς ... αὐτὰς καὶ τὰς φρονήσεις.* Tim. 90. B: *τῷ ... περὶ φιλομάθειαν καὶ περὶ τὰς τῆς ἀληθείας φρονήσεις ἐσπουδακότι.* Legg. I. 645. E.

φρόνιμος, ὁ ἡ, intelligens; prudens. Pol. I. 349. D: *φρόνιμός τε καὶ ἀγαθὸς ὁ ἄδικος.* Alc. I. 125. A: *οὐκοῦν ὃ ἕκαστος φρόνιμος, τοῦτο ἀγαθός;* Ib. *φρόνιμος εἰς ὑποδημάτων ἐργασίαν.* Legg. XII. 963. E: *ψυχὴ φρόνιμός τε καὶ νοῦν ἔχουσα.* Polit. 263. D: *εἴ που φρόνιμόν ἐστί τι ζῶον ἕτερον.* 309. E: *ὄντως σῶφρον καὶ φρόνιμον ... γίγνεται.* Pol. IX. 586. D: *ἃς ἂν τὸ φρόνιμον ἐξηγῆται.* 583. B: *πλὴν τῆς τοῦ φρονίμου (ἡδονῆς).* I. 349. E: *οὐκοῦν καὶ ἅπερ φρόνιμον, ἀγαθὸν (λέγεις) —;* Legg. V. 733. E: *φρόνιμον (βίον).* Soph. 247. A: *τὴν μὲν (ψυχὴν) φρόνιμον, τὴν δὲ ἄφρονα (εἶναι).* Phaedr. 236. A: *παρέντα τοῦ μὲν τὸ φρόνιμον ἐγκωμιάζειν* cet. Pol. VII. 530. C: *τὸ φύσει φρόνιμον.* Tim. 64. B: *ἐπὶ τὸ φρόνιμον ἐλθόντα.* Legg. VIII. 837. C: *τὸ σῶφρον ... καὶ τὸ φρόνιμον αἰδούμενος* cet. Gorg. 498. B: *οἱ ἄφρονες καὶ οἱ φρόνιμοι.* Crat. 398. B: *ὅτι φρόνιμοι καὶ δαήμονες ἦσαν.* Alc. II. 138. D. Lys. 210. A: *εἰς ... ταῦτα ἃ ἂν φρόνιμοι γενώμεθα, ἅπαντες ἡμῖν ἐπιτρέψουσιν.* Pol. V. 450. E: *ἐν ... φρονίμοις τε καὶ φίλοις.* Gorg. 497. E: *τοὺς ἀνδρείους καὶ φρονίμους ἔλεγες.* Crat. 386. C. Pol. III. 412. C: *οὐκοῦν φρονίμους ... εἰς τοῦτο δεῖ ὑπάρχειν —;* Hipp. min. 366. A: *φρονίμους καὶ ἐπιστήμονας* cet. Gorg. 490. B: *(ἐὰν) εἷς ... ἡμῶν ᾖ φρονιμώτερος περὶ ταῦτα ἰατρὸς ὤν.* Tim. 75. C: *φρονιμώτερα.* Phaedr. 239. B: *ὅθεν ἂν φρονιμώτατος εἴη.* Pol. VII. 521. B: *οἳ περὶ τούτων ... φρονιμώτατοι ... ἔχουσι ... βίον ἀμείνω τοῦ πολιτικοῦ.* Phaed. 107. D: *πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι.* Pol. II. 381. A.

φρονίμως, prudenter. Epin. 974. C: *φρονίμως αὐτοὺς ἄλλους τε ἐξετάσαι.* 982. B: *τοῦ φρονίμως ζῆν.* Lach. 192. E: *ἀναλίσκων ἀργύριον φρονίμως.* 193. A: *φρονίμως λογιζόμενον.*

φροντίζω, cogito, meditor; rationem habeo; curo. Apol. 29. E: *τῆς ψυχῆς ὅπως ὡς βελτίστη ἔσται οὐκ ἐπιμελεῖ οὐδὲ φροντίζεις.* Gorg. 464. D: *τοῦ βελτίστου οὐδὲν φροντίζει.* Phil. 20. D. Pol. VIII. 558. B. Soph. 246. D: *ἡμεῖς δὲ οὐ τούτων φροντίζομεν, ἀλλὰ τἀληθὲς ζητοῦμεν.* Gorg. 502. E: *εἰ δέ γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτα, οὐδὲν*

φροντίζουσιν. Pol. VIII. 563. D: *οἶσθ' ὅτι οὐδὲ τῶν νόμων φροντίζουσι γεγραμμένων ἢ ἀγράφων.* Conv. 194. C: (*ὅτι*) *μᾶλλον ἂν αὐτῶν φροντίζοις ἢ τῶν πολλῶν.* Gorg. 493. E: (*εἰ*) *μήτε τι φροντίζοι.* Polit. 301. A: *ὁπόταν … τῶν νόμων μὴ φροντίζωσιν.* Gorg. 501. E: *ἄλλο δ' οὐδὲν φροντίζειν.* Pol. I. 344. E: *ἡμῶν … οὐδὲν κήδεσθαι οὐδέ τι φροντίζειν* (*ἔοικας*). Legg. III. 701. C: *θεῶν μὴ φροντίζειν.* X. 885. C: *μηδὲν ἡμῶν φροντίζειν* (*θεούς*). 888. C: *φροντίζειν … οὐδὲν τῶν ἀνθρωπίνων* (*τοὺς θεούς*). 899. D. Euth. 4. D: *οὐ δεῖν φροντίζειν ὑπὲρ τοῦ τοιούτου.* Clit. 406: *προσποιούμενος … μηδὲν φροντίζειν.* Phaed. 65. A: *ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν.* Polit. 300. A. Conv. 220. C: *ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε.* Legg. IX. 880. A: *μηδὲν προοιμίου φροντίζων.* Hipp. mai. 288. D: *οὐδὲν ἄλλο φροντίζων ἢ τὸ ἀληθές.* Pol. VIII. 558. A: *ὡς οὐδὲ φροντίζοντος οὔτε ὁρῶντος οὐδενός.* Polit. 300. C: *τῶν γραμμάτων οὐδὲν φροντίζοντα.* Crat. 414. D: *οἱ τῆς … ἀληθείας οὐδὲν φροντίζοντες.* Ep. II. 311. C. Lys. 223. A: *ἐπειδὴ … οὐδὲν ἐφρόντιζον ἡμῶν* cet. Apol. 25. C: *ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων.* 28. D: *μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου.* Phaed. 91. C: *σμικρὸν φροντίσαντες Σωκράτους.* Soph. 243. A. Crit. 48. A: *οὐκ ἄρα … πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς* cet.

φροντίς, ἡ, cogitatio; sollicitudo. Phaed. 101. E: *ἐκείνοις … ἴσως οὐδὲ εἷς περὶ τούτου λόγος οὐδὲ φροντίς.* Pol. I. 330. D: *εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν ἔμπροσθεν οὐκ εἰσῄει.* Ax. 367. A: *φροντίδες ἄντικρυς ὑπέδυσαν καὶ διαλογισμοί* cet. Theag. 127. C: *καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξετε φροντίδων.*

φροντιστής, ὁ, indagator. Apol. 18. B: *τά τε μετέωρα φροντιστὴς καὶ τὰ ὑπὸ γῆς ἅπαντα ἀνεζητηκώς.* Ax. 366. B: *καὶ ταῦτα φροντιστὴς ὤν.*

φρονῶ, cogito, sentio; intelligo, calleo; sapio. Phaed. 96. B: *πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν* cet. Phaedr. 231. D: *ὅτι κακῶς φρονοῦσιν.* 232. D: *ἐὰν … ἄμεινον ἐκείνων φρονῇς.* Prot. 333. C: *τὸ δὲ σωφρονεῖν λέγεις εὖ φρονεῖν;* Ib. *τὸ δ' εὖ φρονεῖν εὖ βουλεύεσθαι, ὅτι* (siquidem) *ἀδικοῦσιν;* Phaedr. 266. B: *ἵν' οἷός τε ὦ λέγειν τε καὶ φρονεῖν.* Soph. 249. A: *μηδὲ ζῆν αὐτὸ μηδὲ φρονεῖν.* Phil. 11. B: *τὸ φρονεῖν καὶ τὸ νοεῖν* cet. 33. A: *τῷ τὸν τοῦ φρονεῖν ἑλομένῳ βίον.* 55. A: *φρονεῖν … ὡς οἷόν τε καθαρώτατα.* Pol. VI. 505. B: *καλὸν δὲ καὶ ἀγαθὸν μηδὲν φρονεῖν.* IX. 572. A: *τὸ τρίτον* (*εἶδος*) *… κινήσας, ἐν ᾧ τὸ φρονεῖν ἐγγίγνεται.* Tim. 90. C: *φρονεῖν … ἀθάνατα καὶ θεῖα.* Legg. III. 694. B: *κοινὴν τὴν τοῦ φρονεῖν … δύναμιν.* IV. 712. A: *τῷ φρονεῖν τε καὶ σωφρονεῖν.* VII. 808. D: *πηγὴν τοῦ φρονεῖν.* Alc. I. 133. C: *τοῦτο περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἐστίν.* Lys. 209. D: *ὅταν σε ἡγήσηται βέλτιον περὶ*

οἰκονομίας ἑαυτοῦ φρονεῖν. Hipp. min. 371. A: *φρονεῖν πλέον* (*callidiorem esse*). Gorg. 489. E: *πολλάκις ... εἷς φρονῶν μυρίων μὴ φρονούντων κρείττων ἐστί* cet. Phil. 62. A: *ἔστω δή τις ἡμῖν φρονῶν ἄνθρωπος αὐτῆς περὶ δικαιοσύνης ὅ τί ἐστι.* Phil. 12. D: *ἥδεσθαι ... τὸν φρονοῦντα αὐτῷ τῷ φρονεῖν.* Locr. 100. B: *εἰς τὸν φρονέοντα τόπον.* Polit. 270. A: *φρονοῦντε ἑαυτοῖς ἐναντία* (*θεῷ*). Ep. VII. 337. D: *εὖ φρονοῦντες* (*bene volentes*). Soph. 241. A: *τινὰ τῶν εὖ φρονούντων.* Phaedr. 275. D: *δόξαις μὲν ἂν ὥς τι φρονοῦντας αὐτοὺς* (*τοὺς λόγους*) *λέγειν.* Phaed. 66. C: *ὥστε ... ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν.* Pol. VII. 518. E: *ἡ τοῦ φρονῆσαι* (*ἀρετή*). Legg. XI. 930. E. Cum v. *μέγα* est *me iacto, glorior*; etiam *confido.* Theaet. 149. D: *ὅτι ἐπὶ τούτῳ μεῖζον φρονοῦσιν ἢ ἐπὶ τῇ ὀμφαλητομίᾳ.* Legg. VI. 753. A: *μέγα ... μὲν ... φρονοῦσιν αἱ Ἀθῆναι, μέγα δὲ καὶ ἡ Σπάρτη.* Alc. I. 104. C: *δοκεῖς δέ μοι ἐπὶ τούτῳ ἥκιστα μέγα φρονεῖν.* Lys. 210. D. Prot. 342. D: *ἐπὶ παιδεύσει μέγα φρονοῦντες.* Phaedr. 257. E: *οἱ μέγιστον φρονοῦντες τῶν πολιτικῶν.* Conv. 198. D: *καὶ πάνυ δὴ μέγα ἐφρόνουν ὡς εὖ ἐρῶν.* 217. A: *ἐφρόνουν ... ἐπὶ τῇ ὥρᾳ θαυμάσιον ὅσον.* De lucri cup. 229. C: *μέγα δ' ἐφρόνει ἄρα καὶ ὁ Ἀριστογείτων ἐπὶ τῷ παιδεῦσαι ἄνθρωπον.*

φρουρά, ἡ, custodia. Legg. VI. 760. C: *τὴν φρουρὰν γίγνεσθαι φρουροῖς.* 762. C: *καταλελυκότα τὴν φρουράν.* 760. A: *πόλεως ... αἱ φρουραὶ πέρι ταύτῃ γιγνέσθωσαν.* Etiam, ut Lat. *custodia*, est *carcer* (Phaed. 62. B: *ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι.*) et *statio.* Critia 117. C: *τοῖς ... πιστοτέροις ... διετέτακτο ἡ φρουρά.*

φρούραρχος, ὁ, praesidiorum vel *custodum praefectus.* Legg. VIII. 843. D: *οἱ φρούραρχοι τούτων.* VI. 760. D: *τοὺς φρουράρχους.* E.

φρούριον, τό, castellum. Pol. VIII. 561. B: *οὐδὲ παριεὶς* (*λόγον ἀληθῆ*) *εἰς τὸ φρούριον.* Etiam *carcer.* Ax. 365. E: *ζῷον ἀθάνατον ἐν θνητῷ καθειργμένον φρουρίῳ.*

φρουρός, ὁ, custos. Pol. VIII. 560. B: *οἳ ... ἄριστοι φρουροί τε καὶ φύλακες ἐν ἀνδρῶν θεοφιλῶν εἰσὶ διανοίαις.* Legg. VI. 760. D: *ἵνα ὡς πλεῖστοι τῶν φρουρῶν μὴ μόνον ἔμπειροι τῆς χώρας γίγνωνται* cet. C: *φρουροῖς τε καὶ ἄρχουσιν.* VIII. 848. D.

φρουρῶ, custodio, excubo. Legg. VI. 779. A: *μηδὲ τῷ φρουρεῖν ἀεί τινας ἐν αὐτῇ νύκτωρ καὶ μεθ' ἡμέραν* cet. Pol. IV. 420. A: *ὥσπερ ἐπίκουροι μισθωτοὶ ἐν τῇ πόλει φαίνονται καθῆσθαι οὐδὲν ἄλλο ἢ φρουροῦντες.* Legg. VI. 763. D: *οἱ φρουροῦντες.* 758. B: *φρουροῦντάς τε φρουροῦσι διαδεχομένους ἀεὶ καὶ παραδιδόντας μηδέποτε λήγειν.* XII. 964. E. Pol. IX. 579. B: *κύκλῳ φρουρούμενος ὑπὸ πάντων πολεμίων.*

φρυγιστί, i. q. *phrygia harmonia*. Pol. III. 399. A: *ἀλλὰ κινδυνεύει σοι δωριστὶ λείπεσθαι καὶ φρυγιστί.*

φυγάς, ὁ ἡ, *profugus, transfuga*; etiam *exsul*. Phaedr. 241. B: *φυγὰς δὴ γίγνεται ἐκ τούτων.* Tim. 85. E: *οἷον φυγὰς ἐκ πόλεως στασιασάσης ἐκ τοῦ σώματος ἐκπίπτουσα.* Legg. V. 733. A: (*ἂν*) *μὴ νέος ὢν φυγὰς ἀπ' αὐτοῦ γένηται.* Ep. VII. 328. D: *ἥκω σοι φυγὰς* cet. Legg. XII. 955. B: *φυγάδος δὲ ὑποδοχῆς θάνατος ἔστω ζημία.* Pol. VIII. 560. D: *ὠθοῦσιν ἔξω ἀτίμως φυγάδα.* Legg. IX. 855. C. Alc. II. 145. B: *φυγάδα ποιεῖν τῆς πατρίδος.* Ep. VII. 346. B. Alc. II. 142. A: *οἱ μὲν ἔτι καὶ νῦν φυγάδες τῆσδε τῆς πόλεώς εἰσιν.* Menex. 245. A: *φυγάδας ... ἐάσασα μόνον βοηθῆσαι.*

φυγή, ἡ, *fuga*. Theaet. 176. A: *φυγὴ ... ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν.* Def. 416: *ὄκνος φυγὴ πόνων.* Phaedr. 241. B: *ἵεται φυγῇ μεταβαλών.* Conv. 195. B: *φεύγων φυγῇ τὸ γῆρας.* (Id. Ep. VIII. 354. C.) 221. A: *ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπεδον.* Legg. VI. 770. E: *ἢ λείπειν φυγῇ τὴν πόλιν.* Lach. 182. B: *ἐν φυγῇ.* Prot. 320. E: *πτηνὸν φυγὴν ... ἔνεμεν.* Legg. V. 737. A: *ὅπῃ ποτ' ἂν ἐποιούμεθα αὐτῆς τὴν φυγήν.* I. 638. A: *πολλαὶ ... δὴ φυγαὶ καὶ διώξεις ἀτέκμαρτοι γεγόνασί τε καὶ ἔσονται.* Tim. 69. D: *λύπας, ἀγαθῶν φυγάς.* Legg. IV. 706. C: *φεύγουσι δή τινας οὐκ αἰσχρὰς ... φυγάς.* **exsilium*. Pol. VI. 496. B: *ὑπὸ φυγῆς καταληφθέν.* VIII. 558. Legg. VIII. 867. E. Apol. 37. C: *ἀλλὰ δὴ φυγῆς τιμήσομαι;* Crit. 52. C: *ἐξῆν σοι φυγῆς τιμήσασθαι.* Ep. VII. 350. C: *ἐκβολῆς ἀδίκου καὶ φυγῆς.* VIII. 356. D. Gorg. 516. D: *φυγῇ προσεζημίωσαν.* Legg. V. 735. E: *θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς.* Apol. 21. A: *ξυνέφυγε τὴν φυγὴν ταύτην.* Ep. VII. 338. A: *μὴ φυγὴν αὐτῷ γεγονέναι τότε, μετάστασιν δέ.* 351. C. Prot. 325. B: *ἐφ' ᾧ δὲ ἥ τε ζημία θάνατος ... καὶ φυγαί.* Ep. VII. 331. D: *ἄνευ φυγῶν καὶ σφαγῆς ἀνδρῶν.* Polit. 309. A: *θανάτοις τε ἐκβάλλει καὶ φυγαῖς* cet. Legg. X. 890. C. Pol. X. 618. A: *εἰς πενίας τε καὶ φυγὰς ... τελευτώσας* (*τυραννίδας*). Legg. III. 682. E: *ὥστε θανάτους τε καὶ σφαγὰς καὶ φυγὰς γενέσθαι παμπόλλας.* **exsules*. Legg. III. 682. E: *διὰ τὸ τὸν συλλέξαντα εἶναι τὰς τότε φυγὰς* (sic libri optimi; vulgo *τοὺς τότε φυγάδας*) *Δωριᾶ.*

φυκίον, τό, *alga*. Pol. X. 611. D: *ὄστρεά τε καὶ φυκία* (v. *φύκια*).

φυλακή, ἡ, *custodia*; *excubiae*; etiam *conservatio*. Pol. IV. 433. C: *ἡ ἐν τοῖς ἄρχουσι φρόνησίς τε καὶ φυλακὴ ἐνοῦσα.* Legg. II. 654. D: *εἴ τις παιδείας ἐστὶ φυλακή.* VI. 784. B: (*ἡ*) *φυλακὴ τῶν παιδοποιουμένων.* Pol. VIII. 547. C: *πολέμου τε καὶ φυλακῆς αὐτῶν ἐπιμελεῖσθαι.* 543. B: *μισθὸν τῆς φυλακῆς δεχομένους.* Id. Tim. 18. B. Legg. I. 625. E: *φυλακῆς αὐτῶν ἕνεκα.* VI. 758. A: *ἐπειδὴ ... ναῦς ἐν θα-*

λάττη πλέουσα φυλακῆς ... δεῖται ἀεί. 779. B: εἰς ... τὴν τῆς φυλακῆς ῥᾳστώνην. Pol. III. 388. A: ἐπὶ φυλακῇ τῆς χώρας. Legg. X. 907. A. Conv. 188. C: περὶ Ἔρωτος φυλακήν τε καὶ ἴασιν. Pol. II. 374. E: εἰς πόλεως φυλακήν. III. 415. C: ἀνάξουσι τοὺς μὲν εἰς φυλακήν, τοὺς δὲ εἰς ἐπικουρίαν. X. 606. A: ἀνῆκοι τὴν φυλακὴν τοῦ θρηνώδους τούτου. Tim. 38. C: εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε. Legg. XII. 964. D: ὡς τοιαύτην τινὰ φυλακὴν κεκτημένη ἐν αὑτῇ (ἡ πόλις). 968. A: ὡς φυλακὴν ἐσόμενον κατὰ νόμον χάριν σωτηρίας (τὴν νυκτερινὸν σύλλογον). Menex. 238. B: πρὸς τὴν ὑπὲρ τῆς χώρας φυλακήν. Legg. VI. 758. D: κοινῇ ... δεῖ τὰς φυλακὰς ταύτας φυλάττειν. XII. 942. B: εἴς τε φυλακὰς καὶ παραγγέλσεις. Etiam *excubitores* et *custodes* dicuntur φυλακαί. Prot. 321. D: αἱ Διὸς φυλακαὶ (Κράτος et Βία) φοβεραὶ ἦσαν. Phaedr. 240. E: φυλακάς (v. φύλακάς) τε δὴ καχυποτόπους φυλαττομένῳ cet. **cautio*. Ep. II. 314. B: μεγίστη ... φυλακὴ τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν. Pol. VII. 537. D: καὶ ἐνταῦθα δὴ πολλῆς φυλακῆς ἔργον. Legg. X. 906. A: φυλακῆς θαυμαστῆς δεομένη (μάχη). Alc. II. 148. B: ὡς ἀληθῶς πολλῆς φυλακῆς (μοι δοκεῖ εἶναι). 149. C: ἀλλὰ δοκεῖ μοι πολλῆς φυλακῆς δεῖσθαι καὶ σκέψεως. Soph. 231. A: τὸν δὲ ἀσφαλῆ δεῖ πάντων μάλιστα περὶ τὰς ὁμοιότητας ἀεὶ ποιεῖσθαι τὴν φυλακήν. *Cautio*, i. q. *evitatio* est Def. 413. C: εὐλάβεια φυλακὴ κακοῦ.

φυλακικός, ή, όν, *ad custodiendum aptus; custodiens*. Pol. II. 375. E: ὁ φυλακικὸς ἐσόμενος. IV. 428. D: αὕτη ... ἡ φυλακική (ἐπιστήμη). V. 456. A: ἔστιν ἄρα καὶ φυλακικὴ γυνή, ἡ δ' οὔ. IV. 434. C: φυλακικοῦ γένους. III. 412. E: εἰ φυλακικοί εἰσι τούτου τοῦ δόγματος. VIII. 546. D: ἄρχοντες οὐ πάνυ φυλακικοί. V. 456. A: τῶν ἀνδρῶν τῶν φυλακικῶν. III. 412. C: ἆρ' οὐ φυλακικωτάτους πόλεως (αὐτοὺς δεῖ εἶναι);

φυλακτήριον, τό, *praesidium, vigiliae, custodia*. Legg. XII. 962. C: ἐν τίνι ποτὲ τῶν τῆς πόλεως μερῶν ... ἔστιν ἱκανὸν κατεσκευασμένον ὁτιοῦν τοιοῦτον φυλακτήριον; Pol. IV. 424. C: τὸ ... φυλακτήριον ... ἐνταῦθά που οἰκοδομητέον τοῖς φύλαξιν, ἐν μουσικῇ. Legg. V. 741. C: πρὸς τούτοις δ' ἔτι φυλακτήρια τούτων ... καταστήσουσιν ἐν ταύτῃ τῶν ἀρχῶν cet. *Cautiones* verti potest Legg. XI. 917. B: ἐν τοῖς τῶν ἀγορανόμων νόμοισί τε καὶ φυλακτηρίοις.

φυλακτήριος, α, ον, *custodiens*, subst. *custos*. Legg. VIII. 842. D: τοῖς περὶ τὰ τοιαῦτα φυλακτηρίοις τε καὶ ἐπιστάταις ὀργάνων.

φυλακτικός, ή, όν, *conservandi vim habens*. Def. 414. A: μνήμη διάθεσις ψυχῆς φυλακτικὴ τῆς ἐν αὐτῇ ὑπαρχούσης ἀληθείας. **cautus*. Ep. VI. 322. D: προσδεῖν σοφίας τῆς περὶ τοὺς πονηροὺς καὶ ἀδίκους φυλακτικῆς.

φύλαξ, ὁ et ἡ (etiam φυλακίς, ἡ) *custos, conservator.* Pol. I. 334. A: στρατοπέδου ... ὁ αὐτὸς φύλαξ ἀγαθὸς ὅσπερ cet. Ib. ὅτου τις ... δεινὸς φύλαξ, τούτου καὶ φὼρ δεινός. II. 367. A: αὐτὸς αὑτοῦ ἦν ἕκαστος φύλαξ. 376. C: ὁ μέλλων καλὸς κἀγαθὸς ἔσεσθαι φύλαξ πόλεως. Legg. I. 640. C: γίγνεται ... φύλαξ τῆς τε ὑπαρχούσης φιλίας αὐτοῖς cet. V. 730. A: φύλαξ ... διαφέρων οὗτος τοῦ παθόντος γίγνεται. XI. 928. A: ὃς ἂν ἐπιτρόπου φύλαξ τῶν νομοφυλάκων καταστὰς ἐπιμελῆται. Crit. 43. A: ὁ τοῦ δεσμωτηρίου φύλαξ. Pol. VI. 504. D: φύλακι πόλεώς τε καὶ νόμων. Conv. 189. A: φύλακά με τοῦ λόγου ἀναγκάζεις γίγνεσθαι τοῦ σεαυτοῦ. Polit. 305. C: νόμων φύλακα καὶ ὑπηρέτιν ἐκείνης (οὖσαν). Pol. III. 403. E: γελοῖον γὰρ ... τόν γε φύλακα φύλακος δεῖσθαι. X. 620. D: τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου. Tim. 40. C: γῆν ... φύλακα καὶ δημιουργὸν νυκτός τε καὶ ἡμέρας ἐμηχανήσατο. Legg. XII. 954. B: ὃν ἂν ἐθέλῃ φύλακα καταστησάσθω πέντε ἡμέρας ὁ φωρῶν. 965. B: τόν γε πρὸς ἕκαστα ἄκρον δημιουργόν τε καὶ φύλακα. Pol. V. 465. A: ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε. Crat. 398. A: φύλακες θνητῶν ἀνθρώπων (Hes.). Pol. II. 383. C: εἰ μέλλουσιν ἡμῖν οἱ φύλακες ... θεῖοι γίγνεσθαι. III. 413. C: τίνες ἄριστοι φύλακες τοῦ παρ' αὐτοῖς δόγματος. IV. 421. A: φύλακες ... νόμων τε καὶ πόλεως μὴ ὄντες, ἀλλὰ δοκοῦντες cet. Critia 112. D: τῶν ... αὐτῶν πολιτῶν φύλακες. Legg. VI. 754. D: φύλακες ἔστωσαν τῶν νόμων. Pol. II. 374. D: τὸ τῶν φυλάκων ἔργον. V. 451. D: τὰς θηλείας τῶν φυλάκων κυνῶν. Id. Legg. X. 906. B. 907. A: ἀλλ' οὐ πάντων φυλάκων εἰσὶ μέγιστοι καὶ περὶ τὰ μέγιστα ἡμῖν οἱ πάντες θεοί; V. 745. A: παρὰ φύλαξιν ἄρχουσιν. Pol. III. 395. B: τοὺς φύλακας ἡμῖν ... δεῖν εἶναι δημιουργοὺς ἐλευθερίας τῆς πόλεως πάνυ ἀκριβεῖς. 414. B. V. 457. C: τούς τε φύλακας καὶ τὰς φυλακίδας. VIII. 566. B: αἰτεῖν τὸν δῆμον φυλακάς τινας τοῦ σώματος. Legg. I. 626. A. XII. 965. C: τοὺς τῆς θείας πολιτείας ἡμῖν φύλακας. 966. B: τοὺς ὄντως φύλακας ἐσομένους τῶν νόμων.

φύλαρχος, ὁ, *equitibus unius tribus praefectus.* Legg. IX. 880. D: φύλαρχοί τε καὶ ἵππαρχοι. VI. 760. A: φυλάρχων. VIII. 834. C: φυλάρχοις τε καὶ ἱππάρχοις. VI. 755. C: ἱππάρχους καὶ φυλάρχους. 756. A. 760. B.

φυλάττω, *custodio; conservo, servo, reservo; teneo, tueor; observo, curo; caveo, evitare* vel *avertere studeo; declino.* Legg. VIII. 838. B: ὁ αὐτὸς νόμος ... ἱκανώτατα φυλάττει μήτε φανερῶς μήτε λάθρα συγκαθεύδοντα ... ἅπτεσθαι τούτων. Theaet. 203. E: οὐ γὰρ καλῶς αὐτὸν φυλάττομεν. 180. A: εὖ πάνυ φυλάττουσι τὸ μηδὲν βέβαιον ἐᾶν εἶναι. Crat. 393. C: φύλαττε γάρ με μή πῃ παρακρούσωμαί σε. Conv. 189. B: μή με φύλαττε. Legg. IV. 705. D. XI. 934. C: κατὰ τὰς οἰκίας φυλαττόντων αὐτούς. Pol. II. 442. B: ἆρ' οὖν ...

καὶ τοὺς ἔξωθεν πολεμίους τούτω ἂν κάλλιστα φυλαττοίτην —; Gorg. 461. D: *ἐάν μοι ἓν μόνον φυλάττῃς.* Theaet. 182. C: *τοῦτο μόνον φυλάττωμεν* (*teneamus*). Polit. 285. B. Legg. X. 892. D: *φυλάττωμεν δὴ παντάπασιν ἀπατηλὸν λόγον μή πῃ* cet. Soph. 231. B: *ὁπόταν ἱκανῶς φυλάττωσιν.* Polit. 297. A: *μέχριπερ ἂν ἓν μέγα φυλάττωσι τὸ ... σώζειν* cet. Pol. IV. 423. E: *ἐὰν τὸ λεγόμενον ἓν μέγα φυλάττωσι.* V. 451. D: *ἅπερ ἂν οἱ ἄῤῥενες φυλάττωσι.* Gorg. 480. A: *δεῖ ... αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν ὅπως μὴ ἀδικήσῃ.* Crat. 414. E: *τὸ μέτριον ... δεῖ φυλάττειν.* Pol. I. 333. D: *ὅταν ... δρέπανον δέῃ φυλάττειν.* Ib. *λύραν ὅταν δέῃ φυλάττειν καὶ μηδὲν χρῆσθαι.* 334. A: *ἀργύριον ... φυλάττειν.* VII. 536. A: *πρὸς σωφροσύνην ... οὐχ ἥκιστα δεῖ φυλάττειν* (*observare*) *τὸν νόθον τε καὶ τὸν γνήσιον.* Legg. VI. 758. D: *δεῖ τὰς φυλακὰς ταύτας φυλάττειν.* 760. B: *τὴν δὲ ἄλλην χώραν φυλάττειν πᾶσαν κατὰ τάδε.* D: *τὸν αὑτῶν τόπον φυλάττειν.* XI. 937. A. Euth. 4. B. Theaet. 154. D: *φυλάττων μὴ ἐναντία εἴπω.* Pol. IX. 591. E. Legg. VII. 808. C: *τὸ πρὸς ὑγίειαν αὑτοῦ μόνον φυλάττων χρήσιμον.* IX. 867. A: *ὁ τὸν θυμὸν φυλάττων.* De lege 320. C: *φυλάττων τοὺς νόμους ἐν αὐταῖς.* Charm. 173. D: *ἡ ... σωφροσύνη φυλάττουσα οὐκ ἂν ἐῴη* cet. Polit. 292. A: *τοὺς νόμους ἀκριβῶς φυλάττον.* Pol. VI. 484. D: *τὰ κείμενα* (*νόμιμα*) *φυλάττοντες σώζειν.* Legg. VII. 795. E: *τό τε μεγαλοπρεπὲς φυλάττοντες ἅμα καὶ ἐλεύθερον.* X. 907. A: *τοὺς ... κάλλιστά τε πράγματα φυλάττοντας* cet. Conv. 220. D: *ἅμα δὲ ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι.* Pol. II. 367. A: *οὐκ ἂν ἀλλήλους ἐφυλάττομεν μὴ ἀδικεῖν.* V. 454. D: *ἐκεῖνο τὸ εἶδος τῆς ἀλλοιώσεώς τε καὶ ὁμοιώσεως μόνον ἐφυλάττομεν, τὸ* cet. Men. 89. B: *οὓς ἡμεῖς ἂν παραλαβόντες ... ἐφυλάττομεν ἐν ἀκροπόλει.* Conv. 200. A: *τοῦτο ... φύλαξον παρὰ σαυτῷ μεμνημένος ὅτου.* Legg. V. 741. B: *τὸν ἀριθμὸν ... διὰ βίου παντὸς φυλάξατε τὸν εἰρημένον.* Pol. III. 415. C: *ὅταν αὐτὴν ὁ σιδηροῦς ἢ ὁ χαλκοῦς φυλάξῃ.* Legg. VI. 783. C: *φυλάξωμεν ... τῇ μνήμῃ τὰ νῦν δὴ λεχθέντα.* Pol. I. 334. C: *τὸν ὡς ἀληθῶς ποιμένα οὐκέτι ᾤου δεῖν ὕστερον ἀκριβῶς φυλάξαι.* VI. 484. B: *φυλάξαι νόμους τε καὶ ἐπιτηδεύματα πόλεων.* Prot. 338. B: *ὃς ὑμῖν φυλάξει τὸ μέτριον μῆκος τῶν λόγων ἑκατέρου.* Pol. VII. 530. E: *ἡμεῖς δὲ ... φυλάξομεν τὸ ἡμέτερον.* III. 415. B: (*ὅπως*) *μηδ' οὕτω σφόδρα φυλάξουσι μηδὲν ὡς τοὺς ἐκγόνους.* II. 378. C: *τοὺς μέλλοντας τὴν πόλιν φυλάξειν.* Legg. VII. 807. E. 814. A: *τοὺς φυλάξοντας παῖδάς τε καὶ τὴν ἄλλην πόλιν.* Alc. I. 121. B: *ὧν αἱ γυναῖκες δημοσίᾳ φυλάττονται ὑπὸ τῶν ἐφόρων.* Lach. 184. B: *φυλαττόμενος ἂν ὑπὸ τῶν ἀνθρώπων.* Pol. III. 416. C: *τοῖς φυλαττομένοις ὑπ' αὐτῶν.* VIII. 547. C: *τοὺς ... πρὶν φυλαττομένους ὑπ' αὐτῶν ὡς ἐλευθέρους.* Conv. 187. E: *φυλακτέον*

ἑκάτερον τὸν ἔρωτα. Pol. IV. 421. E: ἃ παντὶ τρόπῳ φυλακτέον ὅπως μήποτε αὐτοὺς λήσει εἰς τὴν πόλιν παραδύντα. Tim. 89. E: διὸ φυλακτέον ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα συμμέτρους. Med. *caveo; avertere, declinare studeo vel declino.* Phaedr. 232. D: τῶν δ' ἄλλο τι κεκτημένων ἀγαθὸν τὴν δύναμιν ἑκάστου φυλάττονται. 240. E: φυλακάς τε δὴ καχυποτόπους φυλαττομένῳ διὰ παντὸς καὶ πρὸς ἅπαντας. Phaed. 92. D: ἄν τις αὐτοὺς (τοὺς λόγους) μὴ φυλάττηται. Polit. 263. B: τοῦτό γε ... φύλαξαι μή ποτε ... δόξῃς cet. Pol. I. 333. E: ἆρ' οὐχ ὁ πατάξαι δεινότατος ... οὗτος καὶ φυλάξασθαι; Ib. νόσον ὅστις δεινὸς φυλάξασθαι. Eryx. 395. D: τὸ λοιπὸν δὴ φυλαξόμεθα. Pol. III. 416. A: οὐκοῦν φυλακτέον παντὶ τρόπῳ μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι πρὸς τοὺς πολίτας.

φυλέτης, ὁ, *tribulis.* Legg. XII. 956. C: κωμῆταί τε καὶ φυλέται. X. 884: κατὰ μέρη κοινὰ φυλετῶν. XII. 955. D: φυλέταις.

φυλετικός, ή, όν, *e tribulibus constans.* Legg. XI. 915. C: ἐν ταῖς φυλετικαῖσι δίκαις. 920. D. VI. 768. C: ἐν τοῖς φυλετικοῖς δικαστηρίοις.

φυλή, ἡ, *tribus.* Gorg. 473. E: ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε. (Id. Apol. 32. B.). Legg. VI. 760. B. VIII. 828. C: ὧν (θεῶν) ἂν ἡ φυλὴ ἑκάστη ἐπώνυμος ᾖ. VI. 753. C: τοὔνομα ... φυλῆς καὶ δήμου. 760. B. V. 745. E: φυλὴν αὐτὴν ἐπονομάσαι. VI. 759. D: αἱ τέτταρες φυλαί. E. 768. B: κατὰ φυλὰς ἀναγκαῖον δικαστήρια ... γίγνεσθαι. 771. B. XI. 921. D: ἐν τοῖς κατὰ φυλὰς δικαστηρίοις. Etiam *cohors militum e tribulibus constans.* Legg. VI. 755. D: ἑκάστῃ φυλῇ ταξίαρχον. C: τῶν πεζῶν φυλῶν κοσμητὰς τῶν τάξεων.

φύλλον, τό, *folium.* Charm. 155. E: ὅτι αὐτὸ ... εἴη φύλλον τι. Ib. (ὅτι) οὐδὲν ὄφελος εἴη τοῦ φύλλου. Pol. II. 372. B: φύλλα καθαρά.

φῦλον, τό, *genus, stirps;* trop. *familia.* Soph. 218. C: τὸ δὲ φῦλον ... οὐ πάντων ῥᾷστον συλλαβεῖν τί ποτ' ἐστίν, ὁ σοφιστής. Polit. 260. D: τὸ κηρυκικὸν φῦλον. Crat. 398. D: τὸ ἡρωικὸν φῦλον. Tim. 91. D: τὸ ... τῶν ὀρνέων φῦλον. Theaet. 160. D: κατὰ μὲν Ὅμηρον καὶ Ἡράκλειτον καὶ πᾶν τὸ τοιοῦτον φῦλον. Soph. 220. A: τὸ ... πτηνὸν φῦλον ὁρῶμεν.

φῦμα, τό, *vomica.* Tim. 85. C: παντοῖ' ἀναπέμπει φύματα (sic Par. A. c. al. Vulg. φυσήματα) ζέουσα (ἡ χολή).

φύρω, *commisceo, concinno.* Phaed. 97. B: ἀλλά τιν' ἄλλον τρόπον (τῆς μεθόδου) αὐτὸς εἰκῇ φύρω. Gorg. 465. C: ἅτε δ' ἐγγὺς ὄντων φύρονται ἐν τῷ αὐτῷ καὶ περὶ ταὐτὰ σοφισταὶ καὶ ῥήτορες. E: ὁμοῦ ἂν πάντα χρήματα ἐφύρετο ἐν τῷ αὐτῷ. Etiam homines dicuntur φύρεσθαι qui cum aliis commiscentur, congrediuntur al. Legg. XII. 950. A: οὐδὲν

διαφέρει φύρεσθαι δεχομένους τε αὐτοῖς ξένους καὶ αὐτοὺς εἰς τὰς ἄλλας ἐπικωμιάζοντας πόλεις. Hipp. mai. 291. A: *ἐμοὶ οὐδὲν πρᾶγμα φύρεσθαι πρὸς τὸν ἄνθρωπον.* Med. *confundo, conturbo* (abs.). Phaed. 101. D: *ἅμα δὲ οὐκ ἂν φύροιο ... περί τε τῆς ἀρχῆς διαλεγόμενος καὶ τῶν ἐξ ἐκείνης ὡρμημένων.*

φυρῶ, *commisceo, subigo.* Tim. 73. E: *γῆν ... ἐφύρασε* (v. *ἀνεφύρασε*) *καὶ ἔδευσε μυελῷ.* Theaet. 147. C: *ὅτι γῆ ὑγρῷ φυραθεῖσα πηλὸς ἂν εἴη.*

φῦσα, ἡ, *inflatio.* Pol. III. 405. D: *φύσας τε καὶ κατάῤῥους νοσήμασιν ὀνόματα τίθεσθαι* cet.

φυσέχη, (i. q. *ψυχή*). Crat. 400. B: *τῇ δυνάμει ... ἣν φύσιν ὀχεῖ καὶ ἔχει, φυσέχην ἐπονομάζειν.*

φύσημα, τό, *spiritus.* Alc. II. 145. E: *ἀνδρῶν ῥητορικῶν πολιτικὸν φύσημα φυσώντων.*

φυσικός, ή, όν, *naturalis.* Locr. 101. D: *τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσικᾶς θερμότατος ἀπαναλουμένω.*

φύσις, ἡ, *natura; rerum natura;* in univ. *quod per se* vel *revera est*, unde *φύσει, τῇ φύσει* et *τὴν φύσιν* non solum est *naturâ* et *naturae convenienter*, verum etiam *per se, vere* et *revera.* Pol. V. 456. A: *γυναικὸς ... καὶ ἀνδρὸς ἡ αὐτὴ φύσις εἰς φυλακὴν πόλεως.* Prot. 315. C: *ἐφαίνοντο ... περὶ φύσεώς τε καὶ τῶν μετεώρων ἀστρονομικὰ ἄττα διερωτᾶν τὸν Ἱππίαν.* Gorg. 483. E: *κατὰ νόμον ... τὸν τῆς φύσεως.* B: *τὸ τῆς φύσεως δίκαιον.* Phaed. 245. E: *ὡς ταύτης οὔσης φύσεως ψυχῆς.* Phil. 31. D: *λύσιν τῆς φύσεως.* Prot. 323. C: *ὅτι δὲ αὐτὴν οὐ φύσει ἡγοῦνται εἶναι οὐδ' ἀπὸ τοῦ αὐτομάτου, ἀλλὰ διδακτὸν* cet. 337. C: *φύσει, οὐ νόμῳ.* Phaedr. 249. E: *πᾶσα ... ἀνθρώπου ψυχὴ φύσει τεθέαται τὰ ὄντα.* Gorg. 482. E: *ἃ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ δέ.* Phaed. 88. A: *οὕτω ... αὐτὸ φύσει ἰσχυρὸν εἶναι* cet. 103. B: *οὔτε τὸ ἐν ἡμῖν οὔτε τὸ ἐν τῇ φύσει* (*ἐναντίον*). Theaet. 172. B: *ὡς οὐκ ἔστι φύσει αὐτῶν οὐδὲν οὐσίαν ἑαυτοῦ ἔχον.* Parm. 132. D: *τὰ ... εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει* (sic libri optimi, v. *τῇ φύσει*). Crat. 389. C: *τὸ φύσει ἑκάστῳ πεφυκὸς ὄργανον.* 390. E: *εἰς τὸ τῇ φύσει ὄνομα ὂν ἑκάστῳ.* 391. A: *ἥντινα φὴς εἶναι τὴν φύσει ὀρθότητα ὀνόματος.* Phil. 14. C: (*τὸν*) *φύσει πως πεφυκότα θαυμαστόν* (*λόγον*). Pol. II. 375. E: *ὅτι τοῦτο φύσει αὐτῶν τὸ ἦθος.* 381. A: *ἢ φύσει ἢ τέχνῃ ἢ ἀμφοτέροις.* III. 407. C: *τοὺς ... φύσει τε καὶ διαίτῃ ὑγιεινῶς ἔχοντας τὰ σώματα.* IV. 428. E: *τοῦτο ... φύσει ὀλίγιστον γίγνεται γένος.* VI. 487. A: *εἰ μὴ φύσει εἴη μνήμων.* 501. B: *πρὸς ... τὸ φύσει δίκαιον καὶ καλὸν* cet. VII. 515. C: *εἰ φύσει τοιάδε ξυμβαίνοι αὐτοῖς* (*si ita res ferret ut haec eis contingerent*). X. 598. A: *αὐτὸ τὸ ἐν τῇ φύσει ἕκαστον.* 611. B: *μήτε ... τῇ ἀληθεστάτῃ φύσει τοιοῦτον εἶναι ψυχὴν ὥστε* cet. Legg. IV. 714. C: *τὸν φύσει ὅρον*

τοῦ δικαίου λέγεσθαι κάλλισθ' οὕτως. VI. 777. D: ὁ φύσει, καὶ μὴ πλαστῶς σέβων τὴν δίκην. VII. 820. C: τὰ τῶν μετρητῶν τε καὶ ἀμέτρων πρὸς ἄλληλα ἥτινι φύσει γέγονε. XI. 927. B: αἷς ἐστὶν ἐν τῇ φύσει τῶν αὑτῶν ἐκγόνων κήδεσθαι διαφερόντως. 931. E: τούτων ... οὕτω φύσει διατεταγμένων cet. Apol. 22. C: ὅτι οὐ σοφίᾳ ποιοῖεν ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ cet. Phaedr. 254. B: πρὸς τὴν τοῦ κάλλους φύσιν ἠνέχθη. 271. A: φύσιν ... δεικνύναι. Soph. 245. C: χωρὶς ἰδίαν ἑκατέρου φύσιν εἰληφότος. 265. C: τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος αἰτίας αὐτομάτης. 256. C: ὡς ἔστι κατὰ φύσιν ταύτῃ. Polit. 264. A: τὰ ... ἔχοντα τιθασεύεσθαι φύσιν ἥμερα προςείρηται. 310. A: θρεφθεῖσι ... κατὰ φύσιν. 308. C: ἡ κατὰ φύσιν ἀληθῶς οὖσα ... πολιτική. Parm. 139. E: τοῦ ... ἑνὸς χωρὶς ἐφάνη τὴν φύσιν τὸ ταὐτόν. Crat. 393. B: ὃ ἂν ᾖ τοῦ γένους ἔκγονον τὴν φύσιν. 394. B: τοῖς ... κατὰ φύσιν γιγνομένοις. 395. D: τοὔνομα ὀρθῶς καὶ κατὰ φύσιν τεθῆναι. Phil. 44. E: ὁτουοῦν εἴδους τὴν φύσιν ἰδεῖν. Pol. IV. 428. E: κατὰ φύσιν οἰκισθεῖσα πόλις. 444. D: κατὰ φύσιν ... κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων. Ib. παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου. V. 473. A: ἢ φύσιν ἔχει (*consentaneum est*) πρᾶξιν λέξεως ἧττον ἀληθείας ἐφάπτεσθαι. VI. 489. B: οὐ γὰρ ἔχει φύσιν κυβερνήτην ναυτῶν δεῖσθαι ἄρχεσθαι ὑφ' αὑτοῦ. Tim. 30. B: τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν cet. 45. B: τὸ κατὰ φύσιν πρόσθεν. 62. B: τὸ ... παρὰ φύσιν ξυναγόμενον μάχεται παρὰ φύσιν αὐτὸ ἑαυτὸ εἰς τοὐναντίον ἀπωθοῦν. Legg. I. 642. A: ἡ κατὰ φύσιν αὐτοῦ διόρθωσις. III. 682. A: κατὰ θεόν πως εἰρημένα καὶ κατὰ φύσιν. IX. 870. E: ἀναγκαῖον εἶναι τὴν κατὰ φύσιν δίκην ἐκτῖσαι τὴν τοῦ παθόντος. X. 892. C: (ὅτι?) φύσιν βούλονται λέγειν γένεσιν τὴν περὶ τὰ πρῶτα. XI. 918. E: καπηλεία ... πᾶσα γέγονεν οὐ βλάβης ἕνεκα τό γε κατὰ φύσιν. 927. A: εἰ ταῦτ' ἐστὶ κατὰ φύσιν. 942. E: τὴν τῶν οἰκείων ἀπολλύντας πίλων τε καὶ ὑποδημάτων γένεσιν καὶ φύσιν. Epin. 974. B: ὡς οὔσης αὐτῇ κατά τινα φύσιν ταύτης. Ut Lat. *natura* (germ. *Wesen*, i. q. *Geschöpf*) etiam singulare quid quod est designat. Pol. II. 359. C: ὃ πᾶσα φύσις διώκειν πέφυκεν ὡς ἀγαθόν. Polit. 267. B: τέχνη τῆς ἀκεράτου φύσεως θρεπτική. 272. C: πυνθανόμενοι παρὰ πάσης φύσεως εἰ cet. Pol. IX. 588. C: οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις. Polit. 306. E: πάντως ἐπιφέροντες τοὔνομα ὃ λέγω κοινὸν πάσαις ταῖς φύσεσι ταύταις ἐπαινοῦμεν αὐτάς. Saepius reddi potest *genus* vel *vis* (germ. *Wesen* vel *Begriff*). Pol. VII. 525. C: ἕως ἂν ἐπὶ θέαν τῆς τῶν ἀριθμῶν φύσεως ἀφίκωνται τῇ νοήσει αὐτῇ. Phil. 25. A: ὅσα διέσπασται ... ξυναγαγόντας χρῆναι ... μίαν ἐνσημαίνεσθαί τινα φύσιν. Pol. IV. 429. D: ἐκλέγονται ἐκ τοσούτων χρωμάτων μίαν φύσιν τὴν τῶν λευκῶν. VI. 493. C: τὴν ... τοῦ ἀναγκαίου

καὶ ἀγαθοῦ φύσιν. — Ad animum transl. est *indoles, ingenium* et *virtus* (germ. *Eigenschaft*); etiam in univ. *animus* (germ. *Geist* et *Gemüth* vel *Gesinnung*). Pol. III. 410. E: *ἡ φιλόσοφος … φύσις.* IX. 576. A: *τυραννικὴ φύσις.* Legg. VII. 810. B: *οἷς μὴ φύσις ἐπέσπευσεν.* IX. 875. A: *ὅτι φύσις ἀνθρώπων οὐδενὸς ἱκανὴ φύεται ὥστε γνῶναί* cet. Phaedr. 279. A: *δοκεῖ μοι ἀμείνων … τὰ τῆς φύσεως.* Pol. III. 409. D: *φύσεως παιδευομένης.* VI. 495. A: *αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη.* VIII. 549. B: *τῷ … μετέχειν τῆς τοῦ φιλοχρημάτου φύσεως.* VI. 486. B: *δειλῇ … καὶ ἀνελευθέρῳ φύσει.* 494. A: *φιλοσόφῳ φύσει.* VII. 538. C: *εἰ μὴ πάνυ εἴη φύσει ἐπιεικής.* VIII. 562. C: *ὅστις φύσει ἐλεύθερος.* IX. 573. C: *ὅταν ἢ φύσει ἢ ἐπιτηδεύμασιν ἢ ἀμφοτέροις … μελαγχολικὸς γένηται.* Tim. 20. A: *ἅμα ἀμφοτέρων φύσει καὶ τροφῇ μετέχον.* Legg. XII. 961. B: *φύσει καὶ τροφῇ.* Alc. I. 119. C: *ἐγὼ … εὖ οἶδα ὅτι τούτων τῇ γε φύσει πάνυ πολὺ περιέσομαι.* 135. E: *οὔτι τῇ σῇ φύσει ἀπιστῶν* cet. Prot. 315. D: *μειράκιον … καλόν τε κἀγαθὸν τὴν φύσιν.* Theaet. 142. C: *δοκεῖ γάρ μοι … πάνυ ἀγασθῆναι αὐτοῦ τὴν φύσιν.* Polit. 307. C: *τὴν σώφρονα φύσιν.* Conv. 219. D: *ἀγάμενον … τὴν τούτου φύσιν τε καὶ σωφροσύνην* cet. Pol. II. 370. B: *διαφέρων τὴν φύσιν.* V. 456. B: *ξυγγενεῖς αὐτοῖς τὴν φύσιν.* VI. 492. A: *ἣν … ἔθεμεν τοῦ φιλοσόφου φύσιν* cet. Legg. XI. 934. D: *διὰ θυμοῦ κακὴν φύσιν ἅμα καὶ τροφὴν γενομένην.* Pol. III. 410. E: *δεῖν … τοὺς φύλακας ἀμφότερα ἔχειν τούτω τὼ φύση* (sic Par. A. Vulg. *φύσεε.* Al. *φύσει*). IV. 424. A: *φύσεις χρησταί.* VI. 491. A: *οἷαι οὖσαι φύσεις ψυχῶν* cet. 485. A: *τῶν φιλοσόφων φύσεων πέρι.* III. 408. D: *οἱ παντοδαπαῖς φύσεσιν ὡμιληκότες.* V. 456. B: *τὰ δ' ἐπιτηδεύματα οὐ τὰ αὐτὰ ἀποδοτέα ταῖς αὐταῖς φύσεσι.* Legg. IV. 710. B: *ταύτην … ὁ τύραννος τὴν φύσιν ἐχέτω πρὸς ἐκείναις ταῖς φύσεσιν* cet. Polit. 274. B: *ὅσα (θηρία) χαλεπὰ τὰς φύσεις ἦν.* Pol. II. 375. B: *ὄντες τοιοῦτοι τὰς φύσεις.* IV. 424. A: *φύσεις ἀγαθὰς ἐμποιεῖ.* VII. 526. C: *οἱ ἄριστοι τὰς φύσεις.* (Id. Tim. 18. D.). VII. 519. C: *τὰς … βελτίστας φύσεις ἀναγκάσαι ἀφικέσθαι πρὸς τὸ μάθημα.* 540. C: *ὅσαι ἂν αὐτῶν ἱκαναὶ τὰς φύσεις ἐγγίγνωνται.* Legg. VII. 798. A: *ταὐτὸν … δεῖ νομίζειν τοῦτο γίγνεσθαι καὶ περὶ τὰς τῶν ἀνθρώπων διανοίας τε ἅμα καὶ τὰς τῶν ψυχῶν φύσεις.* Alc. I. 120. D: *πότερον εἰκὸς ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένεσιν, ἢ μή;* — Saepissime orationis amplificationem efficit vel ita ponitur ut adiectivo (*naturalis*) exprimi possit. Phaedr. 248. C: *ἥ τε τοῦ πτεροῦ φύσις … τούτῳ τρέφεται.* Phaed. 109. E: *ἡ φύσις* (int. *αὐτοῦ*, i. q. germ. *er*). Soph. 257. A: *ἡ τῶν γενῶν φύσις.* C: *ἡ θατέρου … φύσις.* Conv. 186. B: *ἡ … φύσις τῶν σωμάτων.* 191. A: *ἡ φύσις* (int. *αὐτῶν*, germ. *sie*). 192. E. 286. C: *τίκτειν ἐπιθυμεῖ ἡμῶν ἡ φύσις.* Tim.

84. C: ἡ τοῦ μυελοῦ φύσις. Legg. III. 691. E: φύσις τις ἀνθρωπίνη μεμιγμένη θείᾳ τινὶ δυνάμει, κατιδοῦσα cet. VI. 770. D: εἴτε ἄῤῥην τις τῶν ξυνοικούντων οὖσα ἡ φύσις εἴτε θήλεια. Soph. 257. D: τὰ τῆς θατέρου φύσεως μόρια. Tim. 60. B: ὅσον ... διαχυτικὸν μέχρι φύσεως τῶν περὶ τὸ στόμα ξυνόδων cet. Epin. 987. D: ὅτι μέσος ἂν εἴη χειμώνων τε καὶ τῆς θερινῆς φύσεως. Phaed. 87. E: τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας (*naturalem s. natura ei insitam imbecillitatem*) ἐπιδεικνύοι τὸ σῶμα. Polit. 257. D: κατὰ τὴν τοῦ προσώπου φύσιν. (Id. Tim. 75. D.). Phil. 25. E: ἆρ' οὐκ ἐν μὲν νόσοις ἡ τούτων ὀρθὴ κοινωνία τὴν ὑγιείας φύσιν ἐγέννησεν; 30. B: τὴν τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν. Tim. 45. B: τὴν τῶν βλεφάρων φύσιν. 74. D: τὴν ... τῶν νεύρων φύσιν. Legg. V. 729. C: ταὐτοῦ φύσιν αἵματος ἔχουσαν (ξυγγένειαν). VIII. 845. D: περὶ ... τὴν ὕδατος φύσιν ἐστὶ τὰ τοιαῦτα ξύμπαντα δυνατὰ γίγνεσθαι. IX. 862. D: στέρξαι ... τὴν τοῦ δικαίου φύσιν. 869. C: τὸν πατέρα ἢ μητέρα, τοὺς εἰς φῶς τὴν ἐκείνου φύσιν ἀγαγόντας. XII. 944. D: ἐκ γυναικὸς μεταβαλόντα εἰς ἀνδρὸς φύσιν. Epin. 984. D: τὴν τῶν ἄστρων φύσιν.

φυσῶ, *spiro*. Alc. II. 145. E: ἀνδρῶν ῥητορικῶν πολιτικὸν φύσημα φυσώντων.

φυσώδης, ὁ ἡ, *inflatus*. Crat. 427. A: ὅταν που τὸ φυσῶδες μιμῆται.

φυτεία, ἡ, *satio*. Theag. 121. C: εἴτε φυτείαν εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν.

φύτευμα, τό, *satum*, i. e. *arbor* cet. Legg. VI. 761. B: κοσμοῦντες φυτεύμασί τε καὶ οἰκοδομήμασιν.

φυτευτός, ή, όν, *satus*. Pol. VI. 510. A: πᾶν τὸ φυτευτὸν καὶ τὸ σκευαστὸν ὅλον γένος.

φυτεύω, *planto* vel *sero*, in univ. *procreo*, *genero*. De lucri cup. 226. A: ὅτι οὐδενὸς ἄξιον φυτεύει τὸ φυτόν. Tim. 77. A: φύσιν ... φυτεύουσιν. Phaedr. 276. E: ὅταν τις ... φυτεύῃ τε καὶ σπείρῃ μετ' ἐπιστήμης λόγους. Pol. III. 407. D: ἔκγονα αὐτῶν ... ἕτερα τοιαῦτα φυτεύειν. Theag. 121. B. Tim. 73. D: φυτεύων ἐν αὐτῷ κατέδει τὰ τῶν ψυχῶν γένη. Legg. VIII. 843. E. De lucri cup. 225. D: φυτεύων γεωργικὸς ἀνήρ. Tim. 87. B: τοὺς φυτεύοντας. 80. E: ἃ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν. Euth. 12. A: ὃς τάδε πάντ' ἐφύτευσεν (e poët.). Crit. 50. D: ἐφύτευσέ σε (ὁ πατήρ). Phaedr. 248. D: ταύτην μὴ φυτεῦσαι εἰς μηδεμίαν θηρείαν φύσιν. Tim. 57. D. Legg. III. 691. D: δίδυμον ὑμῖν φυτεύσας τὴν τῶν βασιλέων γένεσιν ἐκ μονογενοῦς. Phaedr. 276. E: τῷ ... φυτεύσαντι. Tim. 87. B: τῶν φυτευομένων. Pol. X. 597. C: πλείους οὔτε ἐφυτεύθησαν ὑπὸ τοῦ θεοῦ οὔτε μὴ φυῶσι. De lucri cup. 225. C: ἐν ὁποίᾳ ἄξια φυτευθῆναι καὶ ὥρᾳ καὶ χώρᾳ. Pol. VI. 492. A: ἐὰν ... μὴ ἐν προσηκούσῃ σπαρεῖσά τε καὶ φυτευθεῖσα τρέφηται.

Theag. 121. B: *τὸ φυτευθέν*. (Tim. 77. A. pro v. *φυτευθέντα* Par. A. Tub. et Fl. x. habent *παιδευθέντα*.)

φυτόν, τό, planta, in univ. *terra editum, natum* vel *natura* (germ. *Wesen* vel *Geschöpf*). Pol. II. 380. E: *πᾶν φυτὸν ... τὸ ὑγιέστατον καὶ ἰσχυρότατον ἥκιστα ἀλλοιοῦται*; De lucri cup. 225. B: *ὅτι οὐδενὸς ἄξιον τὸ φυτόν*. Pol. VI. 491. D: *παντὸς ... σπέρματος πέρι ἢ φυτοῦ εἴτε ἐγγείων εἴτε τῶν ζώων*. Legg. VI. 765. E: *παντὸς ... φυτοῦ ἡ πρώτη βλάστη ... κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόςφορον*. Theaet. 149. E: *εἰς ποίαν γῆν ποῖον φυτόν τε καὶ σπέρμα καταβλητέον*. Tim. 90. A: *ὡς ὄντας (ἡμᾶς) φυτὸν οὐκ ἔγγειον, ἀλλ' οὐράνιον*. Polit. 274. D: *σπέρματα ... καὶ φυτά*. Tim. 77. A: *ἥμερα δένδρα καὶ φυτὰ καὶ σπέρματα*. Theag. 121. B: *πάντα τὰ φυτὰ ... καὶ τὰ ἐκ τῆς γῆς φυόμενα καὶ τὰ ζῶα*. Prot. 334. B: *πάντων τῶν φυτῶν ταῖς ... ῥίζαις*. Phaed. 70. D: *κατὰ ζώων πάντων καὶ φυτῶν*. Polit. 280. C: *ὁπόσα φυτῶν ... νεῦρα ... εἴπομεν*. Pol. III. 401. A: *ἡ τῶν σωμάτων φύσις καὶ ἡ τῶν ἄλλων φυτῶν*. Tim. 59. E *διὰ τῶν ἐκ γῆς φυτῶν ἠθημένα*. Legg. X. 905. E: *περὶ φυτῶν γένεσιν*. Euth. 2. D: *τῶν νέων φυτῶν*. Phil. 22. D: *πᾶσι φυτοῖς καὶ ζώοις αἱρετός (βίος)*. Conv. 188. A: *ἀνθρώποις καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς*. B: *καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς*. Pol. VIII. 546. A: *οὐ μόνον φυτοῖς ἐγγείοις, ἀλλὰ καὶ ἐν ἐπιγείοις ζώοις* cet. 564. A: *ἐν ὥραις τε καὶ ἐν φυτοῖς καὶ ἐν σώμασι*. Theag. 121. B. Theaet. 167. B: *κατὰ ... φυτὰ γεωργούς (λέγω τοὺς σοφούς)*. Soph. 233. E: *εἴ τις ἐμὲ καὶ σὲ καὶ τἄλλα φυτὰ πάντα ποιήσειν φαίη*. Pol. VII. 532. B: *πρὸς ... τὰ ζῶά τε καὶ φυτά*. X. 596. E. Legg. X. 889. C: *ζῶα ... καὶ φυτὰ ξύμπαντα*.

φυτουργός, ὁ, opifex. Pol. X. 597. D: *βούλει ... τοῦτον ... φυτουργὸν τούτου προςαγορεύωμεν ἤ τι τοιοῦτον*;

φύω, gigno, edo, procreo; neutr. et pass. *nascor, exsisto, vigeo*; perf. *natus sum, natura sum* vel *comparatus sum, is sum qui, me habeo, soleo*, et in univ. *sum*. Pol. II. 380. A: *ὅτι ... θεὸς αἰτίαν φύει βροτοῖς* (Aesch.). X. 621. A: *ὅσα γῆ φύει*. Id. Legg. VI. 766. A. Polit. 274. A: *φύειν τε καὶ γεννᾶν* cet. Pol. IX. 588. C: *φύειν ἐξ αὑτοῦ πάντα ταῦτα*. Legg. VIII. 848. B: *χείρω που καὶ βελτίω τούτων ἕκαστα ἀνάγκη φύειν καὶ ἐκτρέφειν τὴν γῆν*. Phaedr. 251. C: *φύουσα τὰ πτερά*. Tim. 91. D: *ἀντὶ τριχῶν πτερὰ φύον*. Soph. 265. C: *ἄνευ διανοίας φυούσης (αἰτίας)*. Menex. 237. D: *ἐν ᾧ ἡ πᾶσα γῆ ... ἔφυε ζῶα παντοδαπά*. Apol. 34. D: *οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης* (Hom.) *πέφυκα*. Charm. 158. B: *εἰ ... καὶ πρὸς τἄλλα κατὰ τὸν τοῦδε λόγον ἱκανῶς πέφυκας*. Phaedr. 246. D: *πέφυκεν ἡ πτεροῦ δύναμις τὸ ἐμβριθὲς ἄγειν ἄνω*. 255. C: *ᾗ πέφυκεν ἐπὶ τὴν ψυχὴν ἰέναι*. 265. E: *κατ' ἄρθρα, ᾗ πέφυκε*. 270. D: *τίνα (δύναμιν) πρὸς τί πέφυκεν εἰς τὸ δρᾶν ἔχον* (*naturâ habeat*). 271. A: *πότε-*

